# ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α΄
## Opening considerations

*Greeting*

1 Παῦλος, κλητὸς ἀπόστολος Ἰησοῦ Χριστοῦ*
διὰ θελήματος Θεοῦ, καὶ Σωσθένης ὁ ἀδελφός,
2 τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ,
ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ, κλητοῖς ἁγίοις,
σὺν πᾶσιν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν παντὶ τόπῳ—
αὐτῶν τε† καὶ ὑμῶν·‡ 3 Χάρις ὑμῖν καὶ εἰρήνη
ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ
Χριστοῦ.

*A word of thanksgiving*

4 Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν
ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν
Χριστῷ Ἰησοῦ· 5 ὅτι ἐν παντὶ ἐπλουτίσθητε
ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει,
6 καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη
ἐν ὑμῖν, 7 ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ
χαρίσματι ἀπεκδεχομένους τὴν ἀποκάλυψιν
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, 8 ὃς καὶ
βεβαιώσει ὑμᾶς ἕως τέλους, ἀνεγκλήτους ἐν
τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν, Ἰησοῦ Χριστοῦ.§

---

* **1:1** ιησου χριστου **f35** אA [98.5%] HF,RP,OC,TR,CP ¦ 21 𝔭46B [1.5%] NU † **1:2** τε **f35** [97%] HF,RP,OC,TR,CP ¦ — 𝔭46אA,B [3%] NU ‡ **1:2** υμων **f35** [25%] ¦ ημων 𝔭46אA,B,C [75%] HF,RP,OC,TR,CP,NU § **1:8** χριστου **f35** אA,C [99.5%] HF,RP,OC,TR,CP[NU] ¦ — 𝔭46B [alone]

9 Πιστὸς ὁ Θεός, δι᾽ οὗ ἐκλήθητε εἰς
κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ, Ἰησοῦ Χριστοῦ τοῦ
Κυρίου ἡμῶν.*

### *A word of exhortation*

10 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ
ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
ἵνα τὸ αὐτὸ λέγητε πάντες καὶ μὴ ᾖ ἐν ὑμῖν
σχίσματα, ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ
νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ. 11 Ἐδηλώθη
γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν
Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσιν. 12 Λέγω δὲ
τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει· «Ἐγὼ μέν εἰμι
Παύλου,» «Ἐγὼ δὲ Ἀπολλώ,» «Ἐγὼ δὲ Κηφᾶ,»
«Ἐγὼ δὲ Χριστοῦ.» 13 Μεμέρισται ὁ Χριστός;
Μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν,† ἢ εἰς τὸ
ὄνομα Παύλου ἐβαπτίσθητε;

### *A disclaimer about baptism*

14 Εὐχαριστῶ τῷ Θεῷ‡ ὅτι οὐδένα ὑμῶν
ἐβάπτισα εἰ μὴ Κρίσπον καὶ Γάϊον, 15 ἵνα μή
τις εἴπῃ ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα.§
16 Ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον· λοιπὸν
οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα. 17 Οὐ
γὰρ ἀπέστειλέν με Χριστὸς βαπτίζειν, ἀλλ᾽*

---

* **1:9** ιησου χριστου του κυριου ημων *rell* ¦ 34512 CP

† **1:13** υμων *rell* ¦ ημων [15%]

‡ **1:14** τω θεω **f**[35] C [97%] HF,RP,OC,TR,CP[NU] ¦ 12 μου A [2%] ¦ — ℵB [1%]

§ **1:15** εβαπτισα **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ εβαπτισθητε 𝔓[46]ℵA,B,C [3%] NU ¦ five further readings [2%]

* **1:17** αλλ *rell* ¦ αλλα 𝔓[46]ℵB [1%] NU

εὐαγγελίζεσθαι—οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ.

## The nature of the Gospel

*Foolishness to the lost*

18 Ὁ† λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς
μὲν ἀπολλυμένοις μωρία ἐστίν, τοῖς δὲ
σῳζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστιν.
19 Γέγραπται γάρ· «Ἀπολῶ τὴν σοφίαν τῶν
σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν
ἀθετήσω.» 20 Ποῦ σοφός; Ποῦ γραμματεύς;
Ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; Οὐχὶ
ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου
τούτου;‡ 21 Ἐπειδὴ γάρ, ἐν τῇ σοφίᾳ τοῦ
Θεοῦ, οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας
τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας
τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας
22 —ἐπειδὴ καὶ§ Ἰουδαῖοι σημεῖον* αἰτοῦσιν
καὶ Ἕλληνες σοφίαν ζητοῦσιν, 23 ἡμεῖς
δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον·
Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησιν† δὲ
μωρίαν. 24 Αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις
τε καὶ Ἕλλησιν, Χριστὸν Θεοῦ δύναμιν
καὶ Θεοῦ σοφίαν, 25 ὅτι τὸ μωρὸν τοῦ
Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστίν,

---

† **1:18** ο *rell* ¦ — CP ‡ **1:20** τουτου **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ — 𝔓$^{46}$אA,B,C [4%] NU § **1:22** και *rell* ¦ 1 οι [45%] [According to Swanson, but no one else mentions it.] * **1:22** σημειον **f**$^{35}$ [92%] HF,RP,OC,TR,CP ¦ σημεια 𝔓$^{46}$(א)A,B,C [8%] NU † **1:23** ελλησιν **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ εθνεσιν אA,B,C [4%] NU

καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν
ἀνθρώπων ἐστίν.‡

### *God uses 'nothings'*

26 Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί·
ὅτι οὐ πολλοὶ σοφοί, κατὰ σάρκα, οὐ πολλοὶ
δυνατοί, οὐ πολλοὶ εὐγενεῖς· 27 ἀλλὰ τὰ
μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς ἵνα τοὺς
σοφοὺς καταισχύνῃ,§ καὶ τὰ ἀσθενῆ τοῦ
κόσμου ἐξελέξατο ὁ Θεὸς ἵνα καταισχύνῃ
τὰ ἰσχυρά· 28 καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ
τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεός—καὶ* τὰ
μὴ ὄντα—ἵνα τὰ ὄντα καταργήσῃ· 29 ὅπως μὴ
καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ Θεοῦ.†
30 Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ,
ὃς ἐγενήθη ἡμῖν σοφία‡ ἀπὸ Θεοῦ—δικαιοσύνη
τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις — 31 ἵνα
καθὼς γέγραπται· «Ὁ καυχώμενος, ἐν Κυρίῳ
καυχάσθω.»

# 2

### *Not with human wisdom but with God's power*

---

‡ **1:25** εστιν $\mathbf{f}^{35}$ C [93%] HF,RP,OC,TR,CP ¦ — ℵA,B [4%] NU ¦ — $\mathfrak{P}^{46}$ [3%] omit the whole clause (A likely case of homoioteleuton—three words in a row.) § **1:27** τους σοφους καταισχυνη $\mathbf{f}^{35}$ [73%] HF,RP,OC,TR,CP ¦ 312 $\mathfrak{P}^{46}$ℵB,C [12%] NU ¦ — A [15%] omit a whole line [homoioteleuton] * **1:28** και $\mathbf{f}^{35}$ B [98%] HF,RP,OC,TR,CP ¦ — $\mathfrak{P}^{46}$ℵA,C [2%] NU † **1:29** του θεου $\mathbf{f}^{35}$ $\mathfrak{P}^{46}$ℵA,B [92%] HF,RP,OC,CP,NU ¦ αυτου C [8%] TR ‡ **1:30** ημιν σοφια $\mathbf{f}^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ 21 ($\mathfrak{P}^{46}$)ℵA,C [4%] NU ¦ 2 ημων B

1 Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοί, ἦλθον οὐ
καθ᾽ ὑπεροχὴν λόγου ἢ σοφίας καταγγέλλων*
ὑμῖν τὸ μαρτύριον† τοῦ Θεοῦ. 2 Οὐ γὰρ ἔκρινα
τοῦ‡ εἰδέναι τι§ ἐν ὑμῖν εἰ μὴ Ἰησοῦν Χριστὸν
καὶ τοῦτον ἐσταυρωμένον. 3 Καί, ἐγὼ* ἐν
ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ
ἐγενόμην πρὸς ὑμᾶς. 4 Καί, ὁ λόγος μου καὶ
τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς† ἀνθρωπίνης‡
σοφίας λόγοις,§ ἀλλ᾽ ἐν ἀποδείξει Πνεύματος
καὶ δυνάμεως, 5 ἵνα ἡ πίστις ὑμῶν* μὴ ᾖ ἐν
σοφίᾳ ἀνθρώπων, ἀλλ᾽ ἐν δυνάμει Θεοῦ.

### *Wisdom for the mature*

6 Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις,
σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ
τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, τῶν
καταργουμένων· 7 ἀλλὰ λαλοῦμεν σοφίαν
Θεοῦ† ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην ἣν
προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν

---

* **2:1** καταγγελλων *rell* ¦ καταγγελων [4%] CP † **2:1** μαρτυριον $\mathbf{f}^{35}$ B (94.1%) HF,RP,OC,TR,CP ¦ μυστηριον $\mathfrak{p}^{46v}$ℵA,C (4.4%) NU ¦ four other readings (1.5%) ‡ **2:2** του $\mathbf{f}^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [7%] NU § **2:2** ειδεναι τι $\mathbf{f}^{35}$ ℵA [97%] HF,RP,OC,TR,CP ¦ 21 B,C [3%] NU * **2:3** και εγω $\mathbf{f}^{35}$ [92%] HF,RP,OC,TR,CP ¦ καγω ℵA,B,C [8%] NU † **2:4** πειθοις $\mathbf{f}^{35}$ $\mathfrak{p}^{46}$B,C (83.7%) HF,RP,OC,TR,CP[NU] ¦ πειθοι (11.9%) ¦ πιθοις ℵA (3.2%) ¦ six other readings (1.2%) ‡ **2:4** ανθρωπινης $\mathbf{f}^{35}$ A,C (85.2%) HF,RP,OC,TR,CP ¦ ανθρωπινοις (9.8%) ¦ — $\mathfrak{p}^{46}$ℵB (5%) NU § **2:4** λογοις $\mathbf{f}^{35}$ A,B,C (97.5%) HF,RP,OC,TR,CP[NU] ¦ λογος ℵ (0.5%) ¦ λογου (0.5%) ¦ λογων (0.2%) ¦ — $\mathfrak{p}^{46}$ (1.3%) * **2:5** υμων $\mathbf{f}^{35}$ $\mathfrak{p}^{46}$ℵA,B,C [95%] HF,RP,OC,TR,NU ¦ ημων [5%] CP † **2:7** σοφιαν θεου $\mathbf{f}^{35}$ [88%] HF,RP,OC,TR,CP ¦ 21 $\mathfrak{p}^{46}$ℵA,B,C [12%] NU

ἡμῶν, 8 ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος
τούτου ἔγνωκεν (εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν
Κύριον τῆς δόξης ἐσταύρωσαν). 9 Ἀλλὰ καθὼς
γέγραπται· «Ἃ ὀφθαλμὸς οὐκ εἶδεν‡ καὶ οὖς
οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ
ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν
αὐτόν.» 10 Ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψεν§ διὰ
τοῦ Πνεύματος αὐτοῦ·* τὸ γὰρ Πνεῦμα πάντα
ἐρευνᾷ,† καὶ τὰ βάθη τοῦ Θεοῦ.

11 Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου
εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ;
Οὕτως καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν‡ εἰ μὴ τὸ
Πνεῦμα τοῦ Θεοῦ. 12 Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα§
τοῦ κόσμου ἐλάβομεν ἀλλὰ τὸ Πνεῦμα τὸ
ἐκ τοῦ Θεοῦ, ἵνα εἰδῶμεν* τὰ ὑπὸ τοῦ Θεοῦ
χαρισθέντα ἡμῖν· 13 ἃ καὶ λαλοῦμεν, οὐκ ἐν
διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ᾽
ἐν διδακτοῖς Πνεύματος Ἁγίου,† πνευματικοῖς
πνευματικὰ συγκρίνοντες.

14 Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται
τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ, μωρία γὰρ
αὐτῷ ἐστιν· καί, οὐ δύναται γνῶναι,

---

‡ **2:9** ειδεν *rell* ¦ οιδε [12%] § **2:10** ο θεος απεκαλυψεν **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ 312 𝔓$^{46}$ℵA,B,C [5%] NU * **2:10** αυτου **f**$^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ — 𝔓$^{46}$ℵA,B,C [2%] NU † **2:10** ερευνα **f**$^{35}$ [99%] HF,RP,OC,TR,CP ¦ εραυνα 𝔓$^{46}$ℵA,B,C [1%] NU ‡ **2:11** οιδεν **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ εγνωκεν 𝔓$^{46}$ℵA,B,C [4%] NU ¦ three other readings [1%] § **2:12** πνευμα *rell* ¦ 1 το [20%] * **2:12** ειδωμεν **f**$^{35}$ ℵA,B,C [74%] HF,RP,OC,TR,NU ¦ ιδωμεν 𝔓$^{46}$ [25%] ¦ οιδωμεν CP ¦ ιδομεν [1%] † **2:13** αγιου **f**$^{35}$ 0185 [96%] HF,RP,OC,TR,CP ¦ — 𝔓$^{46}$ℵA,B [4%] NU

ὅτι πνευματικῶς ἀνακρίνεται. 15 Ὁ δὲ
πνευματικὸς ἀνακρίνει μὲν‡ πάντα, αὐτὸς
δὲ ὑπ᾽ οὐδενὸς ἀνακρίνεται. 16 «Τίς γὰρ ἔγνω
νοῦν Κυρίου, ὃς συμβιβάσει αὐτόν;» Ἡμεῖς δὲ
νοῦν Χριστοῦ ἔχομεν.

# The nature of the ministry

# 3

*It is not to be sectarian*

1 Καὶ ἐγώ,* ἀδελφοί, οὐκ ἠδυνήθην ὑμῖν
λαλῆσαι† ὡς πνευματικοῖς, ἀλλ᾽ ὡς
σαρκικοῖς,‡ ὡς νηπίοις ἐν Χριστῷ. 2 Γάλα
ὑμᾶς ἐπότισα καὶ§ οὐ βρῶμα, οὔπω γὰρ
ἠδύνασθε.* Ἀλλ᾽ οὔτε† ἔτι νῦν δύνασθε, 3 ἔτι
γὰρ σαρκικοί ἐστε· ὅπου γὰρ ἐν ὑμῖν ζῆλος
καὶ ἔρις καὶ διχοστασίαι,‡ οὐχὶ σαρκικοί ἐστε
καὶ κατὰ ἄνθρωπον περιπατεῖτε; 4 Ὅταν γὰρ

---

‡ **2:15** μεν **f**[35] B [97%] HF,RP,OC,TR,CP ¦ τα 𝔭[46]A,C [1%] [NU] ¦ 1 τα [2%] ¦ one other variant ¦ ℵ omits the whole verse [homoioteleuton] * **3:1** και εγω **f**[35] [88%] HF,RP,OC,TR,CP ¦ καγω 𝔭[46]ℵA,B,C [12%] NU † **3:1** υμιν λαλησαι **f**[35] [80%] HF,RP,OC,CP ¦ 21 𝔭[46]ℵA,B,C [20%] TR,NU ‡ **3:1** σαρκικοις **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ σαρκινοις 𝔭[46]ℵA,B,C [2%] NU § **3:2** και **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ — 𝔭[46]ℵA,B,C [7%] NU * **3:2** ηδυνασθε **f**[35] [56%] OC,TR ¦ εδυνασθε 𝔭[46]ℵA,B,C [38%] HF,RP,CP,NU ¦ ηδυνασθαι [3%] ¦ εδυνασθαι [3%] (Both of the main readings are imperfect = same meaning; the majority variant being Attic is more likely correct, since why would medieval monks revert to it if the Koine were original.) † **3:2** ουτε **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ ουδε 𝔭[46]ℵA,B,C,0185[V] [15%] NU ‡ **3:3** και διχοστασιαι **f**[35] 𝔭[46] (91.4%) HF,RP,OC,TR,CP ¦ — ℵA,B,C,048 (4.8%) NU ¦ 1 διχοστασια (3%) ¦ three other readings (0.8%)

λέγῃ§ τις, «Ἐγὼ μέν εἰμι Παύλου,» ἕτερος δέ,
«Ἐγὼ* Ἀπολλώ,» οὐχὶ† σαρκικοί‡ ἐστε;

*God's coworkers*

5 Τίς§ οὖν ἐστιν Παῦλος,* τίς† δὲ‡
Ἀπολλώς,§ ἀλλ᾽ ἢ * διάκονοι δι᾽ ὧν
ἐπιστεύσατε, καὶ ἑκάστῳ ὡς ὁ Κύριος ἔδωκεν;
6 Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ᾽† ὁ
Θεὸς ηὔξανεν. 7 Ὥστε οὔτε ὁ φυτεύων ἐστίν
τι, οὔτε ὁ ποτίζων, ἀλλ᾽ ὁ αὐξάνων Θεός. 8 Ὁ
φυτεύων δὲ καὶ ὁ ποτίζων ἕν εἰσιν, ἕκαστος
δὲ τὸν ἴδιον μισθὸν λήψεται‡ κατὰ τὸν ἴδιον
κόπον. 9 Θεοῦ γάρ ἐσμεν συνεργοί· Θεοῦ
γεώργιον, Θεοῦ οἰκοδομή ἐστε.

*There will be an accounting*

10 Κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν
μοι, ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα,§

---

§ **3:4** λεγη *rell* ¦ λεγει [30%] CP * **3:4** ετερος δε εγω **f**35 𝔓46vאB,C [96%] HF,RP,OC,TR,NU ¦ 1232 [3%] CP ¦ 32 A [1%] † **3:4** ουχι **f**35 (96.5%) HF,RP,OC,TR,CP ¦ ουκ 𝔓46אA,B,C,048 (2.7%) NU ¦ ου (0.8%) ‡ **3:4** σαρκικοι **f**35 (96%) HF,RP,OC,TR,CP ¦ ανθρωποι 𝔓46אA,B,C,048 (3.3%) NU ¦ three other readings (0.7%) § **3:5** τις **f**35 C [98%] HF,RP,OC,TR,CP ¦ τι אA,B [2%] NU * **3:5** παυλος **f**35 (93.8%) HF,RP,OC,TR,CP ¦ απολλως 𝔓46אA,B,C,048 (6.2%) NU † **3:5** τις **f**35 𝔓46C (96.7%) HF,RP,OC,TR,CP ¦ τι אA,B,048 (3.3%) NU ‡ **3:5** δε **f**35 (92.3%) HF,RP,OC,TR,CP ¦ 1 εστιν אA,B,C,048 (7.2%) NU ¦ three other readings (0.5%) § **3:5** απολλως **f**35 (92%) HF,RP,OC,TR,CP ¦ απολλω (1.8%) ¦ παυλος 𝔓46אA,B,C,048 (6.2%) NU * **3:5** αλλ η **f**35 [97%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [2%] NU ¦ three other variants [1%] † **3:6** αλλ *rell* ¦ αλλα 𝔓46אA,B [1.5%] NU ¦ ο δε [2%] ‡ **3:8** λημψεται *rell* ¦ λημψεται 𝔓46אA,B [1%] NU § **3:10** τεθεικα **f**35 [98%] HF,RP,OC,TR,CP ¦ εθηκα 𝔓46אA,B,C [2%] NU

ἄλλος δὲ ἐποικοδομεῖ. Ἕκαστος δὲ βλεπέτω
πῶς ἐποικοδομεῖ· 11 θεμέλιον γὰρ ἄλλον
οὐδεὶς δύναται θεῖναι* παρὰ τὸν κείμενον,
ὅς ἐστιν Ἰησοῦς Χριστός.† 12 Εἰ δέ τις
ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον‡ χρυσόν,
ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον,
καλάμην, 13 ἑκάστου τὸ ἔργον φανερὸν
γενήσεται· ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν
πυρὶ ἀποκαλύπτεται. Καί, ἑκάστου τὸ ἔργον
ὁποῖόν ἐστιν τὸ πῦρ§ δοκιμάσει. 14 Εἴ τινος
τὸ ἔργον μενεῖ ὃ ἐπῳκοδόμησεν,* μισθὸν
λήψεται.† 15 Εἴ τινος τὸ ἔργον κατακαήσεται,
ζημιωθήσεται· αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ
ὡς διὰ πυρός.

### *We are a temple of God*

16 Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ
Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; 17 Εἴ τις τὸν
ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός·
ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε
ὑμεῖς.
18 Μηδεὶς ἑαυτὸν ἐξαπατάτω. Εἴ τις δοκεῖ
σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ,
μωρὸς γενέσθω ἵνα γένηται σοφός. 19 Ἡ γὰρ
σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ

---

* **3:11** θειναι *rell* ¦ θηναι [15%] † **3:11** ιησους χριστος **f**[35] 𝔓[46]ℵA,B [90%] HF,RP,OC,CP,NU ¦ 1 ο 2 [3%] TR ¦ 2 C [7%] ‡ **3:12** τουτον **f**[35] [99%] HF,RP,OC,TR,CP ¦ — 𝔓[46]ℵA,B,C [1%] NU § **3:13** πυρ **f**[35] 𝔓[46]ℵ [97%] HF,RP,OC,TR,CP ¦ 1 αυτο A,B,C [3%] [NU] * **3:14** επωκοδομησεν **f**[35] C [88%] OC,TR ¦ εποικοδομησεν 𝔓[46]ℵA,B [10%] HF,RP,CP,NU ¦ two other variants [2%] † **3:14** λημψεται *rell* ¦ λημψεται 𝔓[46v]ℵA,B,C [1.5%] NU

Θεῷ ἐστιν. Γέγραπται γάρ· «Ὁ δρασσόμενος
τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν»· 20 καὶ
πάλιν, «Κύριος γινώσκει τοὺς διαλογισμοὺς
τῶν σοφῶν, ὅτι εἰσὶν μάταιοι.» 21 Ὥστε,
μηδεὶς καυχάσθω ἐν ἀνθρώποις, πάντα γὰρ
ὑμῶν ἐστιν· 22 εἴτε Παῦλος εἴτε Ἀπολλῶς εἴτε
Κηφᾶς, εἴτε κόσμος εἴτε ζωὴ εἴτε θάνατος, εἴτε
ἐνεστῶτα εἴτε μέλλοντα—πάντα ὑμῶν ἐστιν,‡
23 ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ.

# 4

## *As stewards we must be faithful*

1 Οὕτως ἡμᾶς* λογιζέσθω ἄνθρωπος· ὡς
ὑπηρέτας Χριστοῦ καὶ οἰκονόμους μυστηρίων
Θεοῦ. 2 Ὃ δὲ† λοιπὸν ζητεῖται‡ ἐν τοῖς
οἰκονόμοις ἵνα πιστός τις εὑρεθῇ. 3 Ἐμοὶ δὲ
εἰς ἐλάχιστόν ἐστιν ἵνα ὑφ᾽ ὑμῶν ἀνακριθῶ
ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ᾽ οὐδὲ ἐμαυτὸν
ἀνακρίνω. 4 Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα, ἀλλ᾽
οὐκ ἐν τούτῳ δεδικαίωμαι· ὁ δὲ ἀνακρίνων
με Κύριός ἐστιν. 5 Ὥστε μὴ πρὸ καιροῦ τι
κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει
τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς
βουλὰς τῶν καρδιῶν· καὶ τότε ὁ ἔπαινος
γενήσεται ἑκάστῳ ἀπὸ τοῦ§ Θεοῦ.

## *No room for boasting*

‡ **3:22** εστιν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ — 𝔭[46]אA,B,C [4%] NU * **4:1** ημας *rell* ¦ υμας [12%] † **4:2** ο δε **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ωδε 𝔭[46]אA,B,C [4%] NU ‡ **4:2** ζητειται **f**[35] B [70%] HF,RP,OC,TR,CP,NU ¦ ζητειτε 𝔭[46]אA,C [29%] ¦ four other readings [1%] § **4:5** του *rell* ¦ — [15%]

6 Ταῦτα δέ, ἀδελφοί, μετεσχημάτισα εἰς
ἐμαυτὸν καὶ Ἀπολλὼ* δι᾽ ὑμᾶς, ἵνα ἐν ἡμῖν
μάθητε τὸ μὴ ὑπὲρ ὃ † γέγραπται φρονεῖν,‡ ἵνα
μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς μὴ§ φυσιοῦσθε κατὰ τοῦ
ἑτέρου. 7 Τίς γάρ σε διακρίνει; Τί δὲ ἔχεις
ὃ οὐκ ἔλαβες; Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι
ὡς μὴ λαβών; 8 Ἤδη κεκορεσμένοι ἐστέ, ἤδη
ἐπλουτήσατε, χωρὶς ἡμῶν ἐβασιλεύσατε· καὶ
ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν
συμβασιλεύσωμεν.

### *The cost of being an apostle*

9 Δοκῶ γὰρ ὅτι* ὁ Θεὸς ἡμᾶς τοὺς
ἀποστόλους ἐσχάτους ἀπέδειξεν, ὡς
ἐπιθανατίους· ὅτι θέατρον ἐγενήθημεν τῷ
κόσμῳ, καὶ ἀγγέλοις καὶ ἀνθρώποις. 10 Ἡμεῖς
μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν
Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί·
ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. 11 Ἄχρι
τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν,
καὶ γυμνιτεύομεν† καὶ κολαφιζόμεθα καὶ
ἀστατοῦμεν, 12 καὶ κοπιῶμεν, ἐργαζόμενοι
ταῖς ἰδίαις χερσίν. Λοιδορούμενοι
εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα,

---

* **4:6** απολλω **f**[35] 𝔭[46]C [99.5%] HF,RP,OC,TR,CP ¦ απολλων אA,B [0.5%] NU † **4:6** ο **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ α 𝔭[46]אA,B,C [6%] NU ‡ **4:6** φρονειν **f**[35] C[V] [97%] HF,RP,OC,TR,CP ¦ — 𝔭[46]אA,B [3%] NU § **4:6** μη **f**[35] [50%] HF ¦ — 𝔭[46]אA,B,C [50%] RP,OC,TR,CP,NU * **4:9** οτι **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ — 𝔭[46]אA,B,C [4%] NU † **4:11** γυμνιτευομεν **f**[35] א(B)C [40%] CP,NU ¦ γυμνητευομεν 𝔭[46] [60%] HF,RP,OC,TR ¦ — A

13 βλασφημούμενοι‡ παρακαλοῦμεν. Ὡς
περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν,
πάντων περίψημα, ἕως ἄρτι.

*Children imitate fathers*

14 Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλʼ
ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ.§ 15 Ἐὰν γὰρ
μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλʼ
οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ,
διὰ τοῦ εὐαγγελίου, ἐγὼ ὑμᾶς ἐγέννησα.
16 Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε.
17 Διὰ τοῦτο ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστιν
τέκνον μου* ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ,
ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν
Χριστῷ,† καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ
διδάσκω.

*Not in word but in power*

18 Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς,
ἐφυσιώθησάν τινες. 19 Ἐλεύσομαι δὲ ταχέως
πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος θελήσῃ,‡ καὶ
γνώσομαι, οὐ τὸν λόγον τῶν πεφυσιωμένων,§
ἀλλὰ τὴν δύναμιν. 20 Οὐ γὰρ ἐν λόγῳ ἡ
βασιλεία τοῦ Θεοῦ ἀλλʼ ἐν δυνάμει. 21 Τί

---

‡ **4:13** βλασφημουμενοι **f**35 B [98%] HF,RP,OC,TR,CP ¦ δυσφημουμενοι 𝔓46אA,C [2%] NU § **4:14** νουθετω **f**35 B [85%] HF,RP,OC,TR,CP ¦ νουθετων אA,C [15%] [NU] ¦ νουθετη 𝔓46 * **4:17** τεκνον μου **f**35 𝔓46 [95%] HF,RP,OC,TR,CP ¦ 21 אA,B,C [5%] NU † **4:17** χριστω **f**35 A,B (87.8%) HF,RP,OC,TR,CP ¦ 1 ιησου 𝔓46אC (11.3%) [NU] ¦ κυριου ιησου (0.5%) ¦ two other readings ‡ **4:19** θεληση *rell* ¦ θελησει [13%] § **4:19** πεφυσιωμενων *rell* ¦ πεφυσιωμενον [13%]

θέλετε; Ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ
πνεύματί τε πρᾳότητος;*

# The nature of the Christian life

# 5

*Immorality must be punished*

1 Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ
τοιαύτη πορνεία ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν
ὀνομάζεται*—ὥστε γυναῖκά τινα τοῦ πατρὸς
ἔχειν. 2 Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ καὶ οὐχὶ
μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ† ἐκ μέσου
ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας.‡ 3 Ἐγὼ
μὲν γάρ, ὡς§ ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ
πνεύματι, ἤδη κέκρικα, ὡς παρών, τὸν οὕτως
τοῦτο κατεργασάμενον· 4 ἐν τῷ ὀνόματι τοῦ
Κυρίου ἡμῶν* Ἰησοῦ Χριστοῦ,† συναχθέντων
ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος, σὺν τῇ
δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,‡
5 παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς

---

* **4:21** πραοτητος **f35** ℵ [99%] HF,RP,OC,TR,CP ¦ πραυτητος 𝔭46A,B [1%] NU * **5:1** ονομαζεται **f35** (96.8%) HF,RP,OC,TR,CP ¦ — 𝔭46ℵA,B,C (3.2%) NU † **5:2** εξαρθη **f35** [95%] HF,RP,OC,TR,CP ¦ αρθη 𝔭46ℵA,B,C [5%] NU ‡ **5:2** ποιησας **f35** 𝔭46B [97%] HF,RP,OC,TR,CP ¦ πραξας ℵA,C [3%] NU § **5:3** ως **f35** [96%] HF,RP,OC,TR,CP ¦ — 𝔭46ℵA,B,C [4%] NU * **5:4** ημων **f35** 𝔭46B [97%] HF,RP,OC,TR,CP[NU] ¦ — ℵA [3%] † **5:4** χριστου **f35** 𝔭46ℵ [96%] HF,RP,OC,TR,CP ¦ — A,B [4%] NU ‡ **5:4** χριστου **f35** [94%] HF,RP,OC,TR,CP ¦ — 𝔭46ℵA,B [5%] NU ¦ longer omissions [1%]

ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ.§

### *Down with moral 'yeast'*

6 Οὐ καλὸν τὸ καύχημα ὑμῶν. Οὐκ
οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ;
7 Ἐκκαθάρατε οὖν* τὴν παλαιὰν ζύμην, ἵνα
ἦτε νέον φύραμα, καθώς ἐστε, ἄζυμοι. Καὶ γὰρ
τὸ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν† ἐτύθη, Χριστός.
8 Ὥστε ἑορτάζωμεν,‡ μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ
ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ᾽ ἐν ἀζύμοις
εἰλικρινείας§ καὶ ἀληθείας.

### *Avoid contaminators*

9 Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ μὴ
συναναμίγνυσθαι* πόρνοις
10 —καὶ† οὐ
πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου, ἢ τοῖς
πλεονέκταις, ἢ ‡ ἅρπαξιν, ἢ εἰδωλολάτραις·
ἐπεὶ ὀφείλετε§ ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν.

---

§ **5:5** ιησου **f**35 ℵ [88%] HF,RP,OC,TR ¦ ημων 1 χριστου A [10%] lat,syr,cop ¦ 1 χριστου [1%] CP ¦ — 𝔭46B [1%] NU * **5:7** ουν **f**35 C,048 [65%] OC,TR ¦ — 𝔭46ℵA,B [35%] HF,RP,CP,NU (OC is in small print.) † **5:7** υπερ ημων **f**35 (91.8%) HF,RP,OC,TR,CP ¦ 1 υμων (4.3%) ¦ — ℵA,B,C,048 (3.3%) NU ¦ two other readings (0.5%) ‡ **5:8** εορταζωμεν *rell* ¦ εορταζομεν A [20%] § **5:8** εἰλικρινειας **f**35 [20%] ¦ εἱλικρινειας 𝔭46B [55%] HF,RP,OC,TR,CP,NU ¦ ειλικρινιας ℵC [23%] ¦ ιλικρινιας [1%] ¦ ηλικρινιας A (Since collators have generally not recorded breathing, one can only guess at percentages.) * **5:9** συναναμιγνυσθαι *rell* ¦ συναναμιγνυσθε [10%] † **5:10** και **f**35 [97%] HF,RP,OC,TR,CP ¦ — 𝔭46ℵA,B,C [3%] NU ‡ **5:10** η **f**35 𝔭46 [96%] HF,RP,OC,TR,CP ¦ και ℵA,B,C,048 [4%] NU § **5:10** οφειλετε **f**35 [82%] HF,RP,OC,TR,CP ¦ ωφειλετε 𝔭46(ℵ)B,C [13%] NU ¦ ωφειλεται (A) [3%] ¦ οφειλεται [2%]

11 Νυνὶ* δὲ ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι
ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ † πόρνος, ἢ
πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος,‡ ἢ
μέθυσος, ἢ ἅρπαξ—τῷ τοιούτῳ μηδὲ συνεσθίειν.
12 Τί γάρ μοι καὶ§ τοὺς ἔξω κρίνειν; Οὐχὶ
τοὺς ἔσω ὑμεῖς κρίνετε; 13 Τοὺς δὲ ἔξω ὁ Θεὸς
κρινεῖ,* καὶ† ἐξαρεῖτε‡ τὸν πονηρὸν ἐξ ὑμῶν
αὐτῶν.

# 6

*Down with lawsuits!*

1 Τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων πρὸς τὸν
ἕτερον κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ
ἐπὶ τῶν ἁγίων; 2 Οὐκ* οἴδατε ὅτι οἱ ἅγιοι τὸν
κόσμον κρινοῦσιν; Καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ
κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων;
3 Οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν; Μήτι
γε βιωτικά; 4 Βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν
ἔχητε, τοὺς ἐξουθενημένους ἐν τῇ ἐκκλησίᾳ,
τούτους καθίζετε. 5 Πρὸς ἐντροπὴν ὑμῖν†

* **5:11** νυνι **f**35 ℵC [55%] HF,TR ¦ νυν 𝔭46A,B [45%] RP,OC,CP,NU † **5:11** ᾖ *rell* ¦ ἢ [50%] ‡ **5:11** η πλεονεκτης η ειδωλολατρης η λοιδορος *rell* ¦ 561234 CP ¦ 341256 [1%] § **5:12** και **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — 𝔭46ℵA,B,C [5%] NU * **5:13** κρινεῖ **f**35 [80%] HF,RP,CP,NU ¦ κρίνει [20%] OC,TR † **5:13** και **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — 𝔭46ℵA,B,C [5%] NU ‡ **5:13** εξαρειτε **f**35 [85%] HF,RP,OC,TR ¦ εξαρατε ℵA,B,C [4%] NU ¦ εξαιρετε 𝔭46 [1%] ¦ εξαιρειτε [3%] CP ¦ εξαρειται [6%] ¦ three further spellings [1%] * **6:2** ουκ **f**35 [92%] HF,RP,OC,TR,CP ¦ η 1 𝔭46ℵA,B,C [8%] NU † **6:5** υμιν *rell* ¦ υμων [15%]

λέγω. Οὕτως οὐκ ἔνι‡ ἐν ὑμῖν σοφὸς οὐδὲ
εἷς§ ὃς δυνήσεται διακρῖναι* ἀνὰ μέσον τοῦ
ἀδελφοῦ αὐτοῦ; 6 Ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ
κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων; 7 Ἤδη μὲν
οὖν† ὅλως ἥττημα‡ ὑμῖν ἐστιν ὅτι κρίματα
ἔχετε μεθ᾽ ἑαυτῶν. Διὰ τί οὐχὶ μᾶλλον
ἀδικεῖσθε; Διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε;
8 Ἀλλ᾽§ ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ
ταῦτα* ἀδελφούς.

### *How to avoid inheriting the Kingdom*

9 Ἢ οὐκ οἴδατε ὅτι ἄδικοι βασιλείαν
Θεοῦ† οὐ κληρονομήσουσιν; Μὴ πλανᾶσθε·
οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοί,
οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, 10 οὔτε
πλεονέκται, οὔτε κλέπται,‡ οὔτε§ μέθυσοι, οὐ
λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ οὐ*
κληρονομήσουσιν. 11 Καὶ ταῦτά τινες ἦτε·

---

‡ **6:5** ενι **f**35 𝔓46אB,C [96%] HF,RP,OC,CP,NU ¦ εστιν [4%] TR ¦ A omits verses 3-6 § **6:5** σοφος ουδε εις **f**35 [92%] HF,RP,OC,TR,CP ¦ ουδεις 1 𝔓46אB,C [4%] NU ¦ 231 [2%] ¦ 1 ουδεις [2%] ¦ A omits verses 3-6 * **6:5** διακριναι *rell* ¦ ανακριναι א [20%] ¦ A omits verses 3-6 † **6:7** ουν **f**35 A,B,C [95%] HF,RP,OC,TR,CP[NU] ¦ — 𝔓46א [5%] ‡ **6:7** ηττημα *rell* ¦ 1 εν TR § **6:8** αλλ **f**35 [35%] ¦ αλλα 𝔓46אA,B,C [65%] HF,RP,OC,TR,CP,NU * **6:8** ταυτα **f**35 [93%] HF,RP,OC,TR,CP ¦ τουτο 𝔓46אA,B,C [5%] NU ¦ τοτε [2%] † **6:9** βασιλειαν θεου **f**35 [97%] HF,RP,OC,TR,CP ¦ 21 𝔓46אA(B)C [3%] NU ‡ **6:10** πλεονεκται ουτε κλεπται **f**35 [80%] HF,RP,OC,CP ¦ 32 (ουδε 𝔓46) 1 𝔓46אA,B,C [15%] TR,NU ¦ 31 [5%] § **6:10** ουτε **f**35 B [94%] HF,RP,OC,TR,CP ¦ ου אA,C [6%] NU ¦ ουδε 𝔓46 * **6:10** ου **f**35 (85.9%) HF,RP,OC,TR ¦ — 𝔓46אA,B,C (13.6%) CP,NU ¦ one other reading (0.5%)

ἀλλὰ ἀπελούσασθε, ἀλλ’† ἡγιάσθητε, ἀλλ’‡
ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ§
καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν.

### *Fornication is **bad**!*

12 Πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐ πάντα
συμφέρει. Πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐκ ἐγὼ
ἐξουσιασθήσομαι ὑπό τινος. 13 Τὰ βρώματα τῇ
κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν, ὁ δὲ Θεὸς
καὶ ταύτην καὶ ταῦτα καταργήσει. Τὸ δὲ σῶμα
οὐ τῇ πορνείᾳ ἀλλὰ τῷ Κυρίῳ, καὶ ὁ Κύριος
τῷ σώματι. 14 Ὁ δὲ Θεὸς καὶ τὸν Κύριον
ἤγειρεν καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως
αὐτοῦ. 15 Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν
μέλη Χριστοῦ ἐστιν; Ἄρας* οὖν τὰ μέλη τοῦ
Χριστοῦ ποιήσω πόρνης μέλη; Μὴ γένοιτο.
16 Ἢ† οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ
ἓν σῶμά ἐστιν; «Ἔσονται» γάρ, φησίν, «οἱ δύο
εἰς σάρκα μίαν.» 17 Ὁ δὲ κολλώμενος τῷ Κυρίῳ
ἓν πνεῦμά ἐστιν.
18 Φεύγετε τὴν πορνείαν. Πᾶν ἁμάρτημα
ὃ ἐὰν ποιήσῃ‡ ἄνθρωπος ἐκτὸς τοῦ σώματός
ἐστιν, ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα
ἁμαρτάνει. 19 Ἢ οὐκ οἴδατε ὅτι τὸ σῶμα§
ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματός

---

† **6:11** αλλ **f**[35] [35%] ¦ αλλα *rell* ‡ **6:11** αλλ **f**[35] C [77%] HF,RP,TR,CP ¦ αλλα 𝔓[46]אA,B [23%] OC,NU § **6:11** ιησου **f**[35] A [87%] HF,RP,OC,TR,CP ¦ 1 χριστου 𝔓[46]א [3%] NU ¦ ημων 1 χριστου B [10%] * **6:15** αρας **f**[35] 𝔓[46]אA,B,C [70%] HF,RP,OC,TR,CP,NU ¦ αρα [30%] † **6:16** η **f**[35] אA,B,C [60%] OC,TR[NU] ¦ —𝔓[46] [40%] HF,RP,CP ‡ **6:18** ποιηση *rell* ¦ ποιησει [13%] § **6:19** το σωμα **f**[35] 𝔓[46]אB,C [65%] HF,RP,OC,TR,CP,NU ¦ τα σωματα [35%]

ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ, καὶ οὐκ ἐστὲ
ἑαυτῶν; 20 Ἠγοράσθητε γὰρ τιμῆς· δοξάσατε
δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ
πνεύματι ὑμῶν, ἅτινά ἐστιν τοῦ Θεοῦ.*

# 7

*About marriage*

1 Περὶ δὲ ὧν ἐγράψατέ μοι·* καλὸν ἀνθρώπῳ
γυναικὸς μὴ ἅπτεσθαι. 2 Διὰ δὲ τὰς πορνείας,
ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ
ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω. 3 Τῇ γυναικὶ
ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν† ἀποδιδότω,
ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί. 4 Ἡ γυνὴ τοῦ
ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ᾽‡ ὁ ἀνήρ·
ὁμοίως§ δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ
ἐξουσιάζει, ἀλλ᾽* ἡ γυνή. 5 Μὴ ἀποστερεῖτε
ἀλλήλους εἰ μήτι ἂν ἐκ συμφώνου πρὸς
καιρόν, ἵνα σχολάζητε† τῇ νηστείᾳ καὶ τῇ‡
προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε§

---

* **6:20** και εν τω πνευματι υμων ατινα εστιν του θεου **f**35 (96.3%) HF,RP,OC,TR,CP ¦ — 𝔭46אA,B,C (3.7%) NU * **7:1** μοι **f**35 A [97%] HF,RP,OC,TR,CP ¦ — 𝔭46אB,C [3%] NU † **7:3** οφειλομενην ευνοιαν **f**35 [96%] HF,RP,OC,TR,CP ¦ οφειλην 𝔭46vאA,B,C [4%] NU ‡ **7:4** αλλ *rell* ¦ αλλα אA,B,C [1%] NU § **7:4** ομοιως *rell* ¦ ομοιος CP * **7:4** αλλ *rell* ¦ αλλα 𝔭46אA,B,C [2%] NU † **7:5** σχολαζητε **f**35 [94%] HF,RP,OC,TR,CP ¦ σχολασητε 𝔭46אA,B,C [4%] NU ¦ σχολασηται [1%] ¦ σχολαζηται [1%] ‡ **7:5** νηστεια και τη **f**35 (92.4%) HF,RP,OC,TR,CP ¦ — 𝔭46אA,B,C (6.7%) NU [homoioteleuton] ¦ (0.8%) (‘prayer’ before ‘fasting’) § **7:5** συνερχεσθε **f**35 𝔭46 [56%] ¦ συνερχησθε [40%] HF,RP,OC,TR,CP ¦ ητε אA,B,C [4%] NU

ἵνα μὴ πειράζῃ* ὑμᾶς ὁ Σατανᾶς διὰ τὴν
ἀκρασίαν ὑμῶν.
6 Τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ᾽
ἐπιταγήν 7 (θέλω γὰρ† πάντας ἀνθρώπους
εἶναι ὡς καὶ ἐμαυτόν· ἀλλ᾽‡ ἕκαστος ἴδιον
χάρισμα ἔχει§ ἐκ Θεοῦ, ὃς μὲν οὕτως,
ὃς* δὲ οὕτως). 8 Λέγω δὲ τοῖς† ἀγάμοις
καὶ ταῖς χήραις· καλὸν αὐτοῖς ἐστιν‡ ἐὰν
μείνωσιν ὡς κἀγώ· 9 εἰ δὲ οὐκ ἐγκρατεύονται,
γαμησάτωσαν· κρεῖσσον§ γάρ ἐστιν γαμῆσαι
ἢ πυροῦσθαι.

### *Mixed marriages*

10 Τοῖς δὲ γεγαμηκόσιν παραγγέλλω* (οὐκ
ἐγὼ ἀλλ᾽† ὁ Κύριος)· γυναῖκα ἀπὸ ἀνδρὸς μὴ
χωρισθῆναι 11 (ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω
ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω), καὶ ἄνδρα
γυναῖκα μὴ ἀφιέναι. 12 Τοῖς δὲ λοιποῖς
ἐγὼ λέγω‡ (οὐχ ὁ Κύριος)· εἴ τις ἀδελφὸς
γυναῖκα ἔχει ἄπιστον καὶ αὐτὴ§ συνευδοκεῖ

---

* **7:5** πειραζῃ *rell* ¦ πειραζει [15%] † **7:7** γαρ **f**$^{35}$ B [95%] HF,RP,OC,TR,CP ¦ δε 𝔓$^{46}$ℵA,C [5%] NU ‡ **7:7** αλλ *rell* ¦ αλλα 𝔓$^{46}$B,C [2%] NU § **7:7** χαρισμα εχει **f**$^{35}$ 𝔓$^{46}$ [96%] HF,RP,OC,TR,CP ¦ 21 ℵA,B [4%] NU ¦ 1 C * **7:7** ος μεν ουτως ος **f**$^{35}$ 𝔓$^{46}$ (95.5%) HF,RP,OC,TR,CP ¦ ο 23 ο ℵA,B,C (3.9%) NU ¦ four other readings (0.7%) † **7:8** τοις *rell* ¦ ταις [15%] ‡ **7:8** εστιν **f**$^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ — 𝔓$^{46}$ℵA,B,C [6%] NU § **7:9** κρεισσον **f**$^{35}$ A,C [97%] HF,RP,OC,TR,CP ¦ κρειττον (𝔓$^{46}$ℵ)B [2%] NU ¦ κρειτγον [1%] * **7:10** παραγγελλω *rell* ¦ παραγγελω [5%] CP † **7:10** αλλ *rell* ¦ αλλα ℵA,B [1%] NU ‡ **7:12** εγω λεγω **f**$^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ 21 ℵA,B,C [6%] NU § **7:12** αὑτη *rell* ¦ αὐτη NU

οἰκεῖν μετ᾽ αὐτοῦ, μὴ ἀφιέτω αὐτήν. 13 Καὶ
γυνὴ ἥτις* ἔχει ἄνδρα ἄπιστον καὶ αὐτὸς†
συνευδοκεῖ οἰκεῖν μετ᾽ αὐτῆς, μὴ ἀφιέτω
αὐτόν.‡ 14 Ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος
ἐν τῇ γυναικί, καὶ ἡγίασται ἡ γυνὴ ἡ
ἄπιστος ἐν τῷ ἀνδρί·§ ἐπεὶ ἄρα τὰ τέκνα
ὑμῶν ἀκάθαρτά ἐστιν, νῦν δὲ ἅγιά ἐστιν.
15 Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω—
οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς
τοιούτοις, ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς* ὁ Θεός.
16 Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; Ἢ
τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις;

### *About other situations*

17 Εἰ μή, ἑκάστῳ ὡς ἐμέρισεν ὁ Θεός,†
ἕκαστον ὡς κέκληκεν ὁ Κύριος,‡ οὕτως
περιπατείτω (καὶ οὕτως ἐν ταῖς ἐκκλησίαις
πάσαις§ διατάσσομαι). 18 Περιτετμημένος τις
ἐκλήθη; Μὴ ἐπισπάσθω. Ἐν ἀκροβυστίᾳ τις

---

* **7:13** ητις **f**[35] A,B [90%] HF,RP,TR,CP ¦ ει τις 𝔭[46]ℵ [10%] OC,NU † **7:13** αυτος **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ουτος 𝔭[46]ℵA,B,C [3%] NU ‡ **7:13** αυτον **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ τον ανδρα 𝔭[46]A,B,C [3%] NU ¦ 1 ανδρα ℵ § **7:14** ανδρι **f**[35] (94.9%) HF,RP,OC,TR,CP ¦ αδελφω 𝔭[46]ℵA,B,C (3.5%) NU ¦ 1 πιστω (0.8%) ¦ two other readings (0.7%) * **7:15** ημας **f**[35] 𝔭[46]B [96%] HF,RP,OC,TR,CP ¦ υμας ℵA,C [4%] NU † **7:17** εμερισεν ο θεος **f**[35] (87.6%) HF,RP,OC,TR,CP ¦ 231 A (4.9%) ¦ 12 κυριος 𝔭[46]C (5.1%) NU ¦ 1 κυριος (1.2%) ¦ μεμερικεν 2 κυριος ℵB (0.7%) ¦ three other readings (0.5%) ‡ **7:17** θεος εκαστον ως κεκληκεν ο κυριος **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ 623451 𝔭[46]ℵA,B,C [7%] NU § **7:17** ταις εκκλησιαις πασαις **f**[35] 𝔭[46]A,B,C [95%] HF,RP,OC,TR,NU ¦ 312 ℵ [5%] CP

ἐκλήθη;* Μὴ περιτεμνέσθω. 19 Ἡ περιτομὴ
οὐδέν ἐστιν καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν,
ἀλλὰ τήρησις ἐντολῶν Θεοῦ. 20 Ἕκαστος ἐν τῇ
κλήσει ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω. 21 Δοῦλος
ἐκλήθης; Μή σοι μελέτω, ἀλλ᾽ εἰ καὶ δύνασαι
ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι. 22 Ὁ γὰρ
ἐν Κυρίῳ κληθεὶς δοῦλος ἀπελεύθερος Κυρίου
ἐστίν. Ὁμοίως καὶ† ὁ ἐλεύθερος κληθεὶς
δοῦλός ἐστιν Χριστοῦ. 23 Τιμῆς ἠγοράσθητε·
μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. 24 Ἕκαστος ἐν
ᾧ ἐκλήθη, ἀδελφοί, ἐν τούτῳ μενέτω παρὰ‡
Θεῷ.

### *About virgins*

25 Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου
οὐκ ἔχω, γνώμην δὲ δίδωμι ὡς ἠλεημένος
ὑπὸ Κυρίου πιστὸς εἶναι. 26 Νομίζω οὖν
τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν
ἀνάγκην—ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι·
27 Δέδεσαι γυναικί; Μὴ ζήτει λύσιν. Λέλυσαι
ἀπὸ γυναικός; Μὴ ζήτει γυναῖκα. 28 Ἐὰν δὲ καὶ
γήμῃς,§ οὐχ ἥμαρτες· καὶ ἐὰν γήμῃ ἡ παρθένος,
οὐχ ἥμαρτεν. Θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ
τοιοῦτοι, ἐγὼ δὲ ὑμῶν φείδομαι.

### *A sense of urgency*

---

* **7:18** τις εκληθη **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ κεκληται 1 𝔭$^{46}$ℵA,B [4%] NU ¦ 1 κεκληται 𝔭$^{15}$ [1%] † **7:22** και **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ — 𝔭$^{15(46)}$ℵA,B [3%] NU ¦ δε [1%] ¦ δε 1 [3%] ‡ **7:24** παρα **f**$^{35}$ 𝔭$^{46}$ℵB [93%] HF,RP,CP,NU ¦ 1 τω A [7%] OC,TR § **7:28** γημης **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ γαμησης 𝔭$^{46}$ℵB [3%] NU ¦ γαμηση A ¦ λαβης γυναικα [1%]

29 Τοῦτο δέ φημι, ἀδελφοί,* ὁ καιρὸς
συνεσταλμένος· τὸ λοιπόν ἐστιν† ἵνα καὶ
οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν,
30 καὶ οἱ κλαίοντες ὡς μὴ κλαίοντες, καὶ
οἱ χαίροντες ὡς μὴ χαίροντες, καὶ οἱ
ἀγοράζοντες ὡς μὴ κατέχοντες, 31 καὶ
οἱ χρώμενοι τῷ κόσμῳ‡ τούτῳ§ ὡς μὴ
καταχρώμενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ
κόσμου τούτου.

### *Marriage again*

32 Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι. Ὁ ἄγαμος
μεριμνᾷ τὰ τοῦ Κυρίου· πῶς ἀρέσει* τῷ Κυρίῳ.
33 Ὁ δὲ† γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου·
πῶς ἀρέσει‡ τῇ γυναικί. 34 Μεμέρισται καὶ§
ἡ γυνὴ καὶ ἡ παρθένος. Ἡ ἄγαμος* μεριμνᾷ
τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ† σώματι καὶ‡
πνεύματι· ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ

---

* **7:29** αδελφοι *rell* ¦ 1 οτι [12%] † **7:29** το λοιπον εστιν **f**35 [93%] HF,RP,OC,TR,CP ¦ 312 𝔭46אA,B [5%] NU ¦ 32 𝔭15 [1%] ¦ three other readings [1%] ‡ **7:31** τω κοσμω **f**35 [98%] HF,RP,OC,TR,CP ¦ τον κοσμον 𝔭15,46אA,B [2%] NU § **7:31** τουτω *rell* ¦ — 𝔭15,46אA,B [1%] NU ¦ τουτον [1%] * **7:32** αρεσει **f**35 [96%] HF,RP,OC,TR,CP ¦ αρεση 𝔭46אA,B [4%] NU † **7:33** δε *rell* ¦ — [2%] CP ‡ **7:33** αρεσει **f**35 [96%] HF,RP,OC,TR,CP ¦ αρεση 𝔭46אA,B [4%] NU § **7:34** μεμερισται και **f**35 [88%] HF,RP,OC,CP ¦ 212 𝔭15,46אA,B [7%] NU ¦ 1 [5%] TR (OC is in small print.) * **7:34** και η παρθενος η αγαμος **f**35 (93.4%) HF,RP,OC,TR,CP ¦ 4512345 𝔭46אA (2.4%) ¦ 45123 𝔭15B (3.7%) NU ¦ three other readings (0.5%) † **7:34** και **f**35 𝔭46A [95%] HF,RP,OC,TR,CP ¦ 1 τω אB [4%] NU ¦ 1 το [1%] ‡ **7:34** και **f**35 [94%] HF,RP,OC,TR,CP ¦ 1 τω 𝔭46אA,B [6%] NU

κόσμου· πῶς ἀρέσει§ τῷ ἀνδρί. 35 Τοῦτο δὲ
πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον* λέγω, οὐχ ἵνα
βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον,
καὶ εὐπρόσεδρον† τῷ Κυρίῳ ἀπερισπάστως.
36 Εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον
αὐτοῦ νομίζει, ἐὰν ᾖ ὑπέρακμος καὶ οὕτως
ὀφείλει γίνεσθαι, ὃ θέλει ποιείτω· οὐχ
ἁμαρτάνει· γαμείτωσαν. 37 Ὃς δὲ ἕστηκεν
ἑδραῖος ἐν τῇ καρδίᾳ,‡ μὴ ἔχων ἀνάγκην,
ἐξουσίαν δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος,
καὶ τοῦτο κέκρικεν ἐν τῇ καρδίᾳ αὐτοῦ§ τοῦ*
τηρεῖν τὴν ἑαυτοῦ παρθένον, καλῶς ποιεῖ.†
38 Ὥστε, καὶ ὁ ἐκγαμίζων‡ καλῶς§ ποιεῖ,* ὁ
δὲ† μὴ ἐκγαμίζων‡ κρεῖσσον ποιεῖ.§

---

§ **7:34** αρεσει **f**35 [98%] HF,RP,OC,TR,CP ¦ αρεση 𝔓46אA,B [2%] NU * **7:35** συμφερον **f**35 [98.5%] HF,RP,OC,TR,CP ¦ συμφορον 𝔓15,46אA,B [1.5%] NU † **7:35** ευπροσεδρον **f**35 [85%] HF,RP,TR ¦ ευπαρεδρον 𝔓46אA,B [15%] OC,CP,NU ‡ **7:37** εδραιος εν τη καρδια **f**35 [91%] HF,RP,OC,TR,CP ¦ 234 αυτου 1 אA,B [4%] NU ¦ 234 αυτου 𝔓46v [1%] ¦ 1234 αυτου [3%] § **7:37** καρδια αυτου **f**35 [95%] HF,RP,OC,TR,CP ¦ ιδια 1 אA,B [3%] NU ¦ 1 [2%] * **7:37** του **f**35 [75%] HF,RP,OC,TR,CP ¦ — (א)A,B [20%] NU ¦ το [5%] † **7:37** ποιει **f**35 [98%] HF,RP,OC,TR,CP ¦ ποιησει 𝔓46אA,B [2%] NU ‡ **7:38** εκγαμιζων **f**35 (72.2%) HF,RP,OC,TR,CP ¦ γαμιζων 𝔓(15)46א(A)B (12.8%) NU ¦ εγγαμιζων (5.6%) ¦ long omissions (9.4%) § **7:38** καλως **f**35 (83.1%) HF,RP,OC,TR,CP ¦ την εαυτου παρθενον 1 𝔓15אA (6.8%) NU ¦ την παρθενον εαυτου 1 B (0.3%) ¦ την παρθενον αυτου 1 𝔓46 (0.3%) ¦ long omissions (9.4%) * **7:38** ποιει *rell* ¦ ποιη CP ¦ ποιησει 𝔓15,46B [1.5%] † **7:38** ο δε **f**35 [95%] HF,RP,OC,TR,CP ¦ και ο 𝔓46אA,B [5%] NU ‡ **7:38** εκγαμιζων **f**35 [95%] HF,RP,OC,TR,CP ¦ γαμιζων 𝔓46אA,B [5%] NU § **7:38** ποιει **f**35 [97%] HF,RP,OC,TR,CP ¦ ποιησει 𝔓46אA,B [3%] NU

39 Γυνὴ δέδεται νόμῳ* ἐφ᾽ ὅσον χρόνον ζῇ
ὁ ἀνὴρ αὐτῆς, ἐὰν δὲ καὶ† κοιμηθῇ ὁ ἀνήρ,‡
ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι—μόνον ἐν
Κυρίῳ. 40 Μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτως
μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην—δοκῶ δὲ κἀγὼ
Πνεῦμα Θεοῦ ἔχειν.

# 8

*About things offered to idols*

1 Περὶ δὲ τῶν εἰδωλοθύτων· οἴδαμεν ὅτι
πάντες γνῶσιν ἔχομεν. Ἡ γνῶσις φυσιοῖ, ἡ δὲ
ἀγάπη οἰκοδομεῖ. 2 Εἰ δέ* τις δοκεῖ εἰδέναι†
τι, οὐδέπω οὐδὲν ἔγνωκεν‡ καθὼς δεῖ γνῶναι.
3 Εἰ δέ τις ἀγαπᾷ τὸν Θεόν, οὗτος ἔγνωσται
ὑπ᾽ αὐτοῦ.

*Idols are really nothing*

4 Περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων,
οἴδαμεν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι
οὐδεὶς Θεὸς ἕτερος§ εἰ μὴ εἷς. 5 Καὶ γὰρ εἴπερ
εἰσὶν λεγόμενοι ‹θεοί,› εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ
τῆς* γῆς (ὥσπερ εἰσὶν ‹θεοὶ› πολλοὶ καὶ ‹κύριοι›

---

* **7:39** νομω **f**35 (96.8%) HF,RP,OC,TR,CP ¦ — 𝔭15,46ℵA,B (2.6%) NU ¦ γαμω (0.7%) † **7:39** και **f**35 [80%] HF,RP,CP ¦ — 𝔭46ℵA,B [20%] OC,TR,NU ‡ **7:39** ανηρ **f**35 𝔭46ℵA,B [88%] HF,RP,CP,NU ¦ 1 αυτης [12%] OC,TR * **8:2** δε **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — 𝔭46ℵA,B [5%] NU † **8:2** ειδεναι **f**35 [86%] HF,RP,OC,TR,CP ¦ εγνωκεναι 𝔭46ℵA,B [4%] NU ¦ ειναι [10%] ‡ **8:2** ουδεπω ουδεν εγνωκεν **f**35 [95%] HF,RP,OC,TR,CP ¦ ουπω εγνω 𝔭46ℵA,B [3%] NU ¦ 1 εγνω [1%] ¦ three other readings [1%] § **8:4** ετερος **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — 𝔭46ℵA,B [5%] NU * **8:5** της **f**35 [60%] OC,TR,CP ¦ — 𝔭46ℵA,B [40%] HF,RP,NU

πολλοί), 6 ἀλλ᾽ ἡμῖν εἷς Θεός, ὁ Πατήρ, ἐξ οὗ
τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν, καὶ εἷς Κύριος
Ἰησοῦς Χριστός, δι᾽ οὗ τὰ πάντα καὶ ἡμεῖς δι᾽
αὐτοῦ.

*Respect the other's conscience*

7 Ἀλλ᾽ οὐκ ἐν πᾶσιν ἡ γνῶσις· τινὲς δέ,
τῇ συνειδήσει† τοῦ εἰδώλου, ἕως ἄρτι‡ ὡς
εἰδωλόθυτον ἐσθίουσιν, καὶ ἡ συνείδησις
αὐτῶν, ἀσθενὴς οὖσα, μολύνεται. 8 Βρῶμα
δὲ ἡμᾶς§ οὐ παρίστησιν* τῷ Θεῷ· οὔτε γὰρ†
ἐὰν φάγωμεν περισσεύομεν,‡ οὔτε ἐὰν μὴ
φάγωμεν ὑστερούμεθα.§
9 Βλέπετε δὲ μή πως ἡ ἐξουσία ὑμῶν
αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν.*
10 Ἐὰν γάρ τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν ἐν
εἰδωλείῳ† κατακείμενον, οὐχὶ ἡ συνείδησις
αὐτοῦ, ἀσθενοῦς ὄντος, οἰκοδομηθήσεται εἰς

---

† **8:7** συνειδησει **f**35 (95.5%) HF,RP,OC,TR,CP ¦ συνηθεια (א)A,B (4.5%) NU ‡ **8:7** του ειδωλου εως αρτι **f**35 A [94%] HF,RP,OC,TR,CP ¦ 3412 אB [3%] NU ¦ 1 ειδωλοθυτου 34 [3%] § **8:8** ημας *rell* ¦ υμας א [15%] * **8:8** παριστησιν **f**35 [97%] HF,RP,OC,TR,CP ¦ παραστησει 𝔓46אA,B [3%] NU † **8:8** γαρ **f**35 (95.4%) HF,RP,OC,TR,CP ¦ — 𝔓46אA,B (3.9%) NU ¦ long omission (0.7%) ‡ **8:8** περισσευομεν **f**35 𝔓46אA (90.4%) HF,RP,OC,TR,NU ¦ περισσευωμεν (4.3%) CP ¦ περισσευομεθα B (3.6%) ¦ — (1%) ¦ long omission (0.7%) § **8:8** φαγωμεν περισσευομεν ουτε εαν μη φαγωμεν υστερουμεθα **f**35 א (94.9%) HF,RP,OC,TR,CP ¦ 5673412 𝔓46B (2.6%) NU ¦ 5123467 A (0.3%) ¦ omit various words (1.5%) ¦ long omission (0.7%) * **8:9** ασθενουσιν **f**35 [96%] HF,RP,OC,TR,CP ¦ ασθενεσιν 𝔓46אA,B [4%] NU † **8:10** ειδωλειω *rell* ¦ ειδωλιω (אA)B [15%]

τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; 11 Καὶ ἀπολεῖται‡
ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει,§ δι᾽ ὃν
Χριστὸς ἀπέθανεν. 12 Οὕτως δὲ ἁμαρτάνοντες
εἰς τοὺς ἀδελφοὺς καὶ τύπτοντες αὐτῶν
τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν
ἁμαρτάνετε. 13 Διόπερ, εἰ βρῶμα σκανδαλίζει
τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν
αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.

# 9

## *The 'rights' of an apostle*

1 Οὐκ εἰμὶ ἀπόστολος; Οὐκ εἰμὶ ἐλεύθερος;*
Οὐχὶ Ἰησοῦν Χριστὸν† τὸν Κύριον ἡμῶν
ἑώρακα;‡ Οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν
Κυρίῳ; 2 Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος,
ἀλλά γε ὑμῖν εἰμι, ἡ γὰρ σφραγὶς τῆς ἐμῆς§
ἀποστολῆς ὑμεῖς ἐστε ἐν Κυρίῳ. 3 Ἡ ἐμὴ
ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν αὕτη ἐστίν·*
4 Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν;†

---

‡ **8:11** και απολειται **f35** (93%) HF,RP,OC,TR,CP ¦ 1 απολλυται (4.5%) ¦ απολλυται γαρ 𝔓46אB (0.9%) NU ¦ απολλυται ουν A (0.3%) ¦ four conflations (1.4%) § **8:11** αδελφος επι τη ση γνωσει **f35** (94.5%) HF,RP,OC,TR,CP ¦ 1 εν 345 (3.9%) ¦ εν 34 (−ση B) 5 ο 1 𝔓46אA(B) (1.5%) NU * **9:1** αποστολος ουκ ειμι ελευθερος **f35** (93.2%) HF,RP,OC,TR,CP ¦ 4231 𝔓46אA,B (5.8%) NU ¦ 234 (0.5%) ¦ 231 (0.5%) † **9:1** χριστον **f35** [95%] HF,RP,OC,TR,CP ¦ — 𝔓46אA,B [5%] NU ‡ **9:1** εωρακα **f35** 𝔓46 [98%] HF,RP,OC,TR,CP,UBS ¦ εορακα אB [2%] N-A § **9:2** της εμης **f35** 𝔓46 [98.5%] HF,RP,OC,TR,CP ¦ μου 1 אB [1.5%] NU ¦ A omits the whole verse [homoioteleuton] * **9:3** αυτη εστιν **f35** [97%] HF,RP,OC,TR,CP ¦ 21 אA,B [3%] NU † **9:4** πιειν **f35** A [97.5%] HF,RP,OC,TR,CP ¦ πειν 𝔓46B,NU ¦ ποιειν [1%] ¦ πιν א [1%]

5 Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα
περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι καὶ
οἱ ἀδελφοὶ τοῦ Κυρίου, καὶ Κηφᾶς; 6 Ἢ
μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν
τοῦ‡ μὴ ἐργάζεσθαι; 7 Τίς στρατεύεται ἰδίοις
ὀψωνίοις ποτέ; Τίς φυτεύει ἀμπελῶνα καὶ
ἐκ τοῦ καρποῦ§ αὐτοῦ οὐκ ἐσθίει; Ἢ * τίς
ποιμαίνει ποίμνην καὶ ἐκ τοῦ γάλακτος τῆς
ποίμνης οὐκ ἐσθίει; 8 Μὴ κατὰ ἄνθρωπον
ταῦτα λαλῶ;† Ἢ οὐχὶ‡ καὶ ὁ νόμος ταῦτα§
λέγει; 9 Ἐν γὰρ τῷ Μωσέως* νόμῳ† γέγραπται·
«Οὐ φιμώσεις‡ βοῦν ἀλοῶντα.»§ Μὴ τῶν βοῶν
μέλει* τῷ Θεῷ, 10 ἢ δι᾽ ἡμᾶς πάντως λέγει; Δι᾽
ἡμᾶς γὰρ ἐγράφη, ὅτι ἐπ᾽ ἐλπίδι ὀφείλει† ὁ ‡
ἀροτριῶν ἀροτριᾶν, καὶ ὁ ἀλοῶν§ τῆς ἐλπίδος

---

‡ **9:6** του **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — 𝔭46ℵA,B [5%] NU § **9:7** εκ του καρπου **f**35 𝔭46 [97%] HF,RP,OC,TR,CP ¦ τον καρπον ℵA,B,C [3%] NU * **9:7** η *rell* ¦ — B [15%] † **9:8** λαλω **f**35 ℵA,B,C [95%] HF,RP,OC,TR,NU ¦ λεγω 𝔭46 [5%] CP ‡ **9:8** ουχι **f**35 [96%] HF,RP,OC,TR,CP ¦ — 𝔭46ℵA,B,C [4%] NU § **9:8** ταυτα **f**35 [96%] HF,RP,OC,TR,CP ¦ 1 ου 𝔭46ℵA,B,C [4%] NU * **9:9** μωσεως **f**35 [73%] OC ¦ μωυσεως ℵB,C [20%] HF,RP,TR,CP,NU ¦ μωυσεος [5%] ¦ μωσεος [2%] † **9:9** μωσεως νομω **f**35 ℵA,B,C [90%] HF,RP,OC,TR,NU ¦ 21 [10%] (CP) ¦ 2 𝔭46 ‡ **9:9** φιμωσεις **f**35 𝔭46ℵA,C [99%] HF,RP,OC,TR,CP ¦ κημωσεις B [1%] NU § **9:9** ἀλοωντα **f**35 [30%] ¦ ἀλοωντα *rell* (The noun equivalent is everywhere spelled with rough breathing; since collators have generally not registered aspiration, it is hard to know what the witness of the mass of minuscules may be.) * **9:9** μελει *rell* ¦ μελλει [22%] ¦ μελη [3%] † **9:10** επ ελπιδι οφελει **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 312 ℵA,B,C [5%] NU ¦ οφειλει εφ ελπιζει 𝔭46 ‡ **9:10** ο *rell* ¦ — CP § **9:10** ἀλοων **f**35 [30%] ¦ ἀλοων *rell*

αὐτοῦ μετέχειν ἐπ᾽ ἐλπίδι.*

### *To live from the Gospel*

11 Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν,
μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν;†
12 Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν‡ μετέχουσιν,
οὐ μᾶλλον ἡμεῖς; Ἀλλ᾽ οὐκ ἐχρησάμεθα
τῇ ἐξουσίᾳ ταύτῃ, ἀλλὰ πάντα στέγομεν
ἵνα μὴ ἐγκοπήν τινα§ δῶμεν τῷ εὐαγγελίῳ
τοῦ Χριστοῦ. 13 Οὐκ οἴδατε ὅτι οἱ τὰ
ἱερὰ ἐργαζόμενοι* ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν,
οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες† τῷ
θυσιαστηρίῳ συμμερίζονται; 14 Οὕτως καὶ
ὁ Κύριος διέταξεν τοῖς τὸ εὐαγγέλιον
καταγγέλλουσιν ἐκ τοῦ εὐαγγελίου ζῆν.

### *To forego a right*

15 Ἐγὼ δὲ οὐδενὶ ἐχρησάμην‡ τούτων, οὐκ
ἔγραψα δὲ ταῦτα ἵνα οὕτως γένηται ἐν
ἐμοί· καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν ἢ

---

* **9:10** της ελπιδος αυτου μετεχειν επ ελπιδι **f**35 (93.5%) HF,RP,OC,TR,CP ¦ 1234 (1.7%) ¦ 5 (εφ A) 6 του 4 א(A)B,C (3.7%) NU ¦ four other readings 𝔓46 (1%) † **9:11** θερισομεν *rell* ¦ θερισωμεν [9%] CP ‡ **9:12** εξουσιας υμων **f**35 [96%] HF,RP,OC,TR,CP ¦ 21 𝔓46אA,B,C [4%] NU § **9:12** εγκοπην τινα **f**35 [67%] HF,RP,OC,TR,CP ¦ εκκοπην 2 [30%] ¦ 21 A(B)C [2%] NU ¦ 2 εκκοπην א [1%] ¦ one other reading * **9:13** εργαζομενοι **f**35 𝔓46A,C [98%] HF,RP,OC,TR,CP ¦ 1 τα אB [2%] [NU] † **9:13** προσεδρευοντες **f**35 [96%] HF,RP,OC,TR,CP ¦ παρεδρευοντες 𝔓46אA,B,C [4%] NU ‡ **9:15** ουδενι εχρησαμην **f**35 [96%] HF,RP,OC,TR,CP ¦ ου κεχρημαι ουδενι 𝔓46אA,B,C [4%] NU

τὸ καύχημά μου ἵνα τις κενώσῃ§ 16 —ἐὰν
γὰρ εὐαγγελίζωμαι,* οὐκ ἔστιν μοι καύχημα,
ἀνάγκη γάρ μοι ἐπίκειται· οὐαὶ δὲ† μοί
ἐστιν ἐὰν μὴ εὐαγγελίζωμαι.‡ 17 (Εἰ γὰρ
ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ
ἄκων, οἰκονομίαν πεπίστευμαι.) 18 Τίς οὖν
μοί ἐστιν§ ὁ μισθός; Ἵνα εὐαγγελιζόμενος
ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ,*
εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν
τῷ εὐαγγελίῳ.

### *All things to all men*

19 Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων, πᾶσιν
ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας
κερδήσω· 20 Καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς
Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· τοῖς ὑπὸ
νόμον ὡς ὑπὸ νόμον,† ἵνα τοὺς ὑπὸ νόμον
κερδήσω· 21 τοῖς ἀνόμοις ὡς ἄνομος (μὴ
ὢν ἄνομος Θεῷ‡ ἀλλ᾽ ἔννομος Χριστῷ),§

---

§ **9:15** ινα τις κενωση **f**35 [89%] HF,RP,OC,TR,CP ¦ 12 κενωσει C [8%] ¦ ουδεις κενωσει 𝔓46(א)B [1.5%] NU ¦ ουθεις μη καινωσει A ¦ 12 ου μη 3 [1%] * **9:16** ευαγγελιζωμαι *rell* ¦ ευαγγελζομαι [20%] ¦ two other readings [1%] † **9:16** δε **f**35 [95%] HF,RP,OC,TR,CP ¦ γαρ 𝔓46אA,B,C [5%] NU ‡ **9:16** ευαγγελιζωμαι **f**35 𝔓46אA [79%] HF,RP,OC,TR,CP ¦ ευαγγελισωμαι B,C [1%] [NU] ¦ ευαγγελζομαι [20%] § **9:18** μοι εστιν **f**35 𝔓46B (80.7%) HF,RP,OC,TR,CP ¦ μου 2 אA,C (13.1%) NU ¦ εσται 1 (0.5%) ¦ 2 (2.6%) ¦ 1 (0.3%) ¦ — (2.7%) * **9:18** του χριστου **f**35 [96%] HF,RP,OC,TR,CP ¦ — 𝔓46אA,B,C [4%] NU † **9:20** νομον **f**35 (92.2%) HF,RP,OC,TR,CP ¦ 1 μη ων αυτος υπο 1 אA,B,C (6.8%) NU ¦ long omissions (1%) ‡ **9:21** θεω **f**35 [95%] HF,RP,OC,TR,CP ¦ θεου 𝔓46אA,B,C [5%] NU § **9:21** χριστω **f**35 [90%] HF,RP,OC,TR,CP ¦ χριστου 𝔓46אA,B,C [10%] NU

ἵνα κερδήσω ἀνόμους·* 22 ἐγενόμην τοῖς
ἀσθενέσιν ὡς† ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς
κερδήσω. Τοῖς πᾶσιν γέγονα τὰ‡ πάντα,
ἵνα πάντως τινὰς σώσω. 23 Τοῦτο§ δὲ ποιῶ
διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοινωνὸς* αὐτοῦ
γένωμαι.

### *Even an apostle can be rejected*

24 Οὐκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ
τρέχοντες πάντες μὲν τρέχουσιν, εἷς δὲ
λαμβάνει τὸ βραβεῖον; Οὕτως τρέχετε ἵνα
καταλάβητε. 25 Πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα
ἐγκρατεύεται—ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν
στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. 26 Ἐγὼ
τοίνυν οὕτως τρέχω, ὡς οὐκ ἀδήλως· οὕτως
πυκτεύω, ὡς οὐκ ἀέρα δαίρων.† 27 Ἀλλ’‡
ὑπωπιάζω§ μου τὸ σῶμα καὶ δουλαγωγῶ,
μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος
γένωμαι.

# 10

### *Learn from Israel*

---

* **9:21** κερδησω ανομους **f**35 [94%] HF,RP,OC,TR,CP ¦ 21 [2%] ¦ 1 τους 2 𝔓46 ¦ κερδανω τους 2 אA,B,C [3%] NU ¦ κερδανω 2 [1%] † **9:22** ως **f**35 C [99%] HF,RP,OC,TR,CP ¦ — 𝔓46אA,B [1%] NU ‡ **9:22** τα **f**35 [97%] HF,RP,OC,TR,CP ¦ — 𝔓46אA,B,C [3%] NU § **9:23** τουτο **f**35 (92.9%) HF,RP,OC,TR,CP ¦ παντα 𝔓46אA,B,C (7.1%) NU * **9:23** συγκοινωνος *rell* ¦ συκοινωνος CP † **9:26** δαιρων **f**35 [35%] CP ¦ δερων 𝔓46אA,B,C [65%] HF,RP,OC,TR,NU ‡ **9:27** αλλ *rell* ¦ αλλα 𝔓46B [2%] NU § **9:27** υπωπιαζω **f**35 אA,B,C [62%] HF,RP,TR,NU ¦ υποπιαζω 𝔓46 [34%] OC,CP ¦ υποπιεζω [4%]

1 Οὐ θέλω δὲ* ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι
οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην
ἦσαν καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον
2 —καὶ πάντες εἰς τὸν Μωϋσῆν† ἐβαπτίσαντο‡ ἐν
τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ— 3 καὶ πάντες
τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον§ 4 καὶ
πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον·*
ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης
πέτρας, ἡ δὲ πέτρα† ἦν ὁ Χριστός. 5 Ἀλλ᾽ οὐκ
ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός—
κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ.

*Examples*

6 Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν, εἰς τὸ μὴ
εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν καθὼς κἀκεῖνοι
ἐπεθύμησαν. 7 Μηδὲ εἰδωλολάτραι γίνεσθε,
καθώς τινες αὐτῶν· ὥσπερ‡ γέγραπται·
«Ἐκάθισεν ὁ λαὸς§ φαγεῖν καὶ πιεῖν,* καὶ
ἀνέστησαν παίζειν.» 8 Μηδὲ πορνεύωμεν,

---

* **10:1** δε **f**35 [96%] HF,RP,OC,TR,CP ¦ γαρ 𝔭46אA,B,C [4%] NU † **10:2** μωυσην *rell* ¦ μωσην אA [5%] TR ¦ μωυσεα 𝔭46 ‡ **10:2** εβαπτισαντο **f**35 B [90%] HF,RP,OC,TR,CP ¦ εβαπτιζοντο 𝔭46 ¦ εβαπτισθησαν אA,C [10%] NU § **10:3** βρωμα πνευματικον εφαγον **f**35 אC [94%] HF,RP,OC,TR,CP ¦ 213 𝔭46B [3%] NU ¦ 231 A [1%] ¦ four other readings [2%] * **10:4** πωμα πνευματικον επιον **f**35 [96%] HF,RP,OC,TR,CP ¦ 231 𝔭46אA,B,C [3%] NU ¦ three other readings [1%] † **10:4** δε πετρα **f**35 𝔭46A,C [98.5%] HF,RP,OC,TR,CP ¦ 21 אB [1.5%] NU ‡ **10:7** ωσπερ **f**35 𝔭46אA,B [90%] HF,RP,CP,NU ¦ ως C [10%] OC,TR § **10:7** λαος *rell* ¦ 1 του [1%] CP * **10:7** πιειν **f**35 A,C [98%] HF,RP,OC,TR,CP ¦ πειν 𝔭46B [1%] NU ¦ πιν א ¦ ποιειν [1%]

καθώς τινες αὐτῶν ἐπόρνευσαν—καὶ ἔπεσον†
ἐν‡ μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες. 9 Μηδὲ
ἐκπειράζωμεν τὸν Χριστόν,§ καθὼς καί*
τινες αὐτῶν ἐπείρασαν—καὶ ὑπὸ τῶν ὄφεων
ἀπώλοντο.† 10 Μηδὲ γογγύζετε, καθὼς καί‡
τινες αὐτῶν ἐγόγγυσαν—καὶ ἀπώλοντο ὑπὸ
τοῦ ὀλοθρευτοῦ.
11 Ταῦτα δὲ πάντα§ τύποι συνέβαινον*
ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν,
εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν.†
12 Ὥστε, ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ
πέσῃ. 13 Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν εἰ
μὴ ἀνθρώπινος, δυνατὸς‡ δὲ ὁ Θεός, ὃς οὐκ
ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ
ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ
δύνασθαι ὑμᾶς§ ὑπενεγκεῖν.

---

† **10:8** επεσον **f**[35] 𝔓[46] [90%] HF,RP,OC,TR,CP ¦ επεσαν אA,B,C [10%] NU ‡ **10:8** εν **f**[35] A,C [98.5%] HF,RP,OC,TR,CP ¦ — 𝔓[46]אB [1.5%] NU § **10:9** χριστον *rell* ¦ κυριον אB,C (7.3%) ¦ θεον A (2.7%) ¦ — (0.9%) * **10:9** και **f**[35] C [88%] HF,RP,OC,TR,CP ¦ — 𝔓[46]אA,B [12%] NU † **10:9** απωλοντο **f**[35] C [99%] HF,RP,OC,TR,CP ¦ απωλυντο 𝔓[46] ¦ απωλλυντο אB [1%] NU ‡ **10:10** καθως και **f**[35] (79.1%) HF,RP,OC,TR,CP ¦ 1 A,C (17.6%) ¦ καθαπερ 𝔓[46]אB (1%) NU ¦ long omissions (2.2%) § **10:11** ταυτα δε παντα **f**[35] C [96%] HF,RP,OC,TR,CP ¦ 321 א [2%] ¦ 12 A,B [2%] NU * **10:11** τυποι συνεβαινον **f**[35] (86.8%) HF,RP,OC,TR,CP ¦ τυπικως συνεβαινεν 𝔓[46]אB,C (8.4%) NU ¦ τυπικως 2 A (2.4%) ¦ 1 συνεβαινεν (0.9%) ¦ 2 (0.9%) ¦ three other readings (0.7%) † **10:11** κατηντησεν **f**[35] A,C [97%] HF,RP,OC,TR,CP ¦ κατηντηκεν 𝔓[46]אB [2%] NU ¦ two other readings [1%] ‡ **10:13** δυνατος **f**[35] [30%] CP ¦ πιστος 𝔓[46]אA,B,C [70%] HF,RP,OC,TR,NU § **10:13** υμας **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ ημας [3%] ¦ — 𝔓[46]אA,B,C [5%] NU (OC is in small print.)

### *Eschew idolatry*

14 Διόπερ,* ἀγαπητοί μου,† φεύγετε ἀπὸ
τῆς εἰδωλολατρίας.‡ 15 Ὡς φρονίμοις λέγω·
κρίνατε ὑμεῖς ὅ φημι. 16 Τὸ ποτήριον τῆς
εὐλογίας ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ
αἵματος τοῦ Χριστοῦ ἐστιν;§ Τὸν ἄρτον ὃν
κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ
Χριστοῦ ἐστιν; 17 Ὅτι εἷς ἄρτος, ἓν σῶμα
οἱ πολλοί ἐσμεν, οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς
ἄρτου μετέχομεν. 18 Βλέπετε τὸν Ἰσραὴλ
κατὰ σάρκα· οὐχὶ* οἱ ἐσθίοντες τὰς θυσίας
κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσίν;

### *Idol = demon*

19 Τί οὖν φημι; Ὅτι εἴδωλόν τί ἐστιν, ἢ ὅτι
εἰδωλόθυτόν† τί ἐστιν; 20 Ἀλλ᾽ ὅτι ἃ θύει‡
τὰ ἔθνη§ δαιμονίοις θύει καὶ οὐ Θεῷ.* Οὐ
θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων
γίνεσθαι. 21 Οὐ δύνασθε ποτήριον Κυρίου
πίνειν καὶ ποτήριον δαιμονίων· οὐ δύνασθε

---

* **10:14** διοπερ *rell* ¦ διο [5%] CP † **10:14** αγαπητοι μου *rell* ¦ αδελφοι 21 CP ‡ **10:14** ειδωλολατριας $\mathbf{f}^{35}$ $\mathfrak{p}^{46}$(א)B,C [64%] OC,CP ¦ ειδωλολατρειας A [35%] HF,RP,TR,NU ¦ ειδωλολατρεας [1%] § **10:16** του αιματος του χριστου εστιν $\mathbf{f}^{35}$ אC [99%] HF,RP,OC,TR,CP ¦ 51234 $\mathfrak{p}^{46}$A,B [1%] NU * **10:18** ουχι $\mathbf{f}^{35}$ $\mathfrak{p}^{46}$B [97%] HF,RP,OC,TR,CP ¦ ουχ אA,C [3%] NU † **10:19** ειδωλον τι εστιν η οτι ειδωλοθυτον $\mathbf{f}^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ 12346 [1%] ¦ 623451 B [3%] NU ¦ 612 $\mathfrak{p}^{46}$אA,C [2%] ‡ **10:20** θυει $\mathbf{f}^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ θυουσιν $\mathfrak{p}^{46}$אA,B,C [7%] NU § **10:20** τα εθνη $\mathbf{f}^{35}$ $\mathfrak{p}^{46}$אA,C [99%] HF,RP,OC,TR,CP ¦ — B [1%] NU * **10:20** θυει και ου θεω $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ θυουσιν 234 [2%] ¦ 234 θυουσιν אA,B,C [3%] [NU]

τραπέζης Κυρίου μετέχειν καὶ τραπέζης
δαιμονίων. 22 Ἢ παραζηλοῦμεν τὸν Κύριον;
Μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν;

### *About conscience*

23 Πάντα μοι† ἔξεστιν, ἀλλʼ οὐ πάντα
συμφέρει. Πάντα μοι‡ ἔξεστιν, ἀλλʼ οὐ πάντα
οἰκοδομεῖ. 24 Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω,
ἀλλὰ§ τὸ τοῦ ἑτέρου ἕκαστος.* 25 Πᾶν
τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν
ἀνακρίνοντες διὰ τὴν συνείδησιν· 26 «τοῦ
γὰρ Κυρίου† ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.»
27 Εἰ δέ‡ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων καὶ
θέλετε§ πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον
ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν
συνείδησιν. 28 Ἐὰν δέ τις ὑμῖν εἴπῃ, «Τοῦτο
εἰδωλόθυτόν* ἐστιν,» μὴ ἐσθίετε διʼ ἐκεῖνον
τὸν μηνύσαντα καὶ τὴν συνείδησιν· «τοῦ
γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.»†

---

† **10:23** μοι **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ — 𝔓$^{46}$אA,B,C [3%] NU ‡ **10:23** μοι **f**$^{35}$ [87%] HF,RP,OC,TR,CP ¦ — 𝔓$^{46}$אA,B,C [3%] NU ¦ long omission [10%] [homoioteleuton] § **10:24** αλλα *rell* ¦ 1 και [12%] * **10:24** ετερου εκαστος **f**$^{35}$ (89.5%) HF,RP,OC,TR,CP ¦ 1 𝔓$^{46}$א(A)B,C (4.6%) NU ¦ πλησιον 2 (5.9%) † **10:26** γαρ κυριου **f**$^{35}$ 𝔓$^{46}$A [90%] HF,RP,OC,TR,CP ¦ 21 אB,C [3%] NU ¦ long omission [7%] ‡ **10:27** δε **f**$^{35}$ C [88%] HF,RP,OC,TR,CP ¦ — 𝔓$^{46}$אA,B [4%] NU ¦ long omission [8%] § **10:27** θελετε *rell* ¦ θελεται א [10%] * **10:28** ειδωλοθυτον **f**$^{35}$ C [99%] HF,RP,OC,TR,CP ¦ ιεροθυτον 𝔓$^{46}$אA,B [1%] NU † **10:28** του γαρ κυριου η γη και το πληρωμα αυτης **f**$^{35}$ (91.2%) HF,RP,OC,TR,CP ¦ — אA,B,C (8.4%) NU ¦ — 𝔓$^{46}$ has a longer omission ¦ one other reading (0.3%)

29 Συνείδησιν, δὲ λέγω, οὐχὶ τὴν ἑαυτοῦ ἀλλὰ
τὴν τοῦ ἑτέρου.

### *Do all to the glory of God*

Ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ
ἄλλης συνειδήσεως; 30 Εἰ‡ ἐγὼ χάριτι μετέχω,
τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ;
31 Εἴτε οὖν ἐσθίετε εἴτε πίνετε, εἴτε τι ποιεῖτε,
πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. 32 Ἀπρόσκοποι
γίνεσθε καὶ Ἰουδαίοις§ καὶ Ἕλλησιν καὶ τῇ
ἐκκλησίᾳ τοῦ Θεοῦ 33 —καθὼς κἀγὼ πάντα
πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον*
ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν.

# 11

1 Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ
Χριστοῦ.

## The nature of church life

### *About women*

2 Ἐπαινῶ δὲ ὑμᾶς, ἀδελφοί,* ὅτι πάντα
μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν,
τὰς παραδόσεις† κατέχετε. 3 Θέλω δὲ
ὑμᾶς εἰδέναι ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ
ὁ Χριστός ἐστιν, κεφαλὴ δὲ γυναικὸς ὁ
ἀνήρ, κεφαλὴ δὲ‡ Χριστοῦ ὁ Θεός. 4 Πᾶς

---

‡ **10:30** ει **f**[35] ℵA,B,C [98%] HF,RP,OC,CP,NU ¦ ει δε 𝔭[46] [2%] TR § **10:32** γινεσθε και ιουδαιοις **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ 231 𝔭[46]ℵA,B,C [3%] NU * **10:33** συμφερον **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ συμφορον 𝔭[46]ℵA,B,C [1%] NU ¦ συμφερων [4%] * **11:2** αδελφοι **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ — 𝔭[46]ℵA,B,C [3%] NU † **11:2** παραδοσεις *rell* ¦ παραδωσεις [9%] CP ‡ **11:3** δε **f**[35] 𝔭[46]C [97%] HF,RP,OC,TR,CP ¦ 1 του ℵA,B [3%] NU

ἀνὴρ προσευχόμενος ἢ προφητεύων κατὰ
κεφαλῆς ἔχων καταισχύνει τὴν κεφαλὴν
αὐτοῦ.§ 5 Πᾶσα δὲ γυνὴ προσευχομένη
ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ
καταισχύνει* τὴν κεφαλὴν ἑαυτῆς†—ἓν γάρ
ἐστιν καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ.‡ 6 Εἰ γὰρ οὐ
κατακαλύπτεται γυνή, καὶ κειράσθω. Εἰ δὲ
αἰσχρὸν γυναικὶ τὸ κείρεσθαι§ ἢ ξυρᾶσθαι,
κατακαλυπτέσθω.
7 Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει
κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ
δόξα Θεοῦ ὑπάρχων·* γυνὴ δὲ δόξα ἀνδρός
ἐστιν. 8 Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικός, ἀλλὰ
γυνὴ ἐξ ἀνδρός· 9 καὶ γὰρ οὐκ ἐκτίσθη† ἀνὴρ
διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα
10 —διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν
ἐπὶ τῆς κεφαλῆς, διὰ τοὺς ἀγγέλους— 11 πλήν,
οὔτε ἀνὴρ χωρὶς γυναικὸς οὔτε γυνὴ χωρὶς
ἀνδρός,‡ ἐν Κυρίῳ. 12 Ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ
ἀνδρός, οὕτως καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός·
τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ.
13 Ἐν ὑμῖν αὐτοῖς κρίνατε· πρέπον
ἐστὶν γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ

---

§ **11:4** κεφαλην αυτου *rell* ¦ εαυτου 1 CP * **11:5** καταισχυνει *rell* ¦ καταισχυνη [13%] ¦ κατεσχυνη [2%] † **11:5** εαυτης **f**35 B [75%] HF,RP,OC,TR,CP ¦ αυτης 𝔭46vℵA,C [25%] NU ‡ **11:5** εξυρημενη *rell* ¦ ξυρημενη CP § **11:6** κειρεσθαι **f**35 [32%] CP ¦ κειρασθαι ℵA,B,C [64%] HF,RP,OC,TR,NU ¦ κηρασθαι [3%] ¦ three other readings [1%] * **11:7** υπαρχων **f**35 𝔭46ℵC [97%] HF,RP,OC,TR,CP ¦ 1 η A,B [3%] NU † **11:9** εκτισθη *rell* ¦ εκκτισθη CP ‡ **11:11** ανηρ χωρις γυναικος ουτε γυνη χωρις ανδρος **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 5674123 𝔭46ℵA,B,C [5%] NU

προσεύχεσθαι; 14 Ἢ§ οὐδὲ αὐτὴ ἡ φύσις*
διδάσκει ὑμᾶς ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία
αὐτῷ ἐστιν; 15 Γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ
ἐστιν, ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται.†
16 Εἰ δέ τις δοκεῖ φιλόνεικος‡ εἶναι, ἡμεῖς
τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ
ἐκκλησίαι τοῦ Θεοῦ.

*About the Lord's Supper*

*Some local abuses*

17 Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ,
ὅτι οὐκ εἰς τὸ κρεῖττον§ ἀλλ'* εἰς τὸ
ἧττον† συνέρχεσθε. 18 Πρῶτον μὲν γάρ,
συνερχομένων ὑμῶν ἐν‡ ἐκκλησίᾳ, ἀκούω
σχίσματα ἐν ὑμῖν ὑπάρχειν, καὶ μέρος τι
πιστεύω. 19 Δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν§ εἶναι
ἵνα* οἱ δόκιμοι φανεροὶ γένωνται† ἐν ὑμῖν.
20 Συνερχομένων οὖν ὑμῶν ἐπὶ τὸ αὐτό, οὐκ
ἔστιν κυριακὸν δεῖπνον φαγεῖν. 21 Ἕκαστος

---

§ **11:14** η **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ — 𝔭[46]אA,B,C [4%] NU * **11:14** αυτη η φυσις **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ 231 אA,B,C [4%] NU ¦ η φυσις αυτης 𝔭[46] † **11:15** δεδοται **f**[35] 𝔭[46] [73%] HF,RP,CP ¦ 1 αυτη אA,B [17%] OC,TR[NU] ¦ αυτη 1 C [5%] ¦ δεδωται [3%] ¦ two other readings [2%] ‡ **11:16** φιλονεικος *rell* ¦ φιλονικος (C) [16%] § **11:17** κρειττον **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ κρεισσον (א)A,B,C [3%] NU ¦ κρειτγον [12%] * **11:17** αλλ *rell* ¦ αλλα A,B,C [11%] NU † **11:17** ηττον **f**[35] [88%] HF,RP,OC,TR,CP ¦ ησσον אA,B,C [2%] NU ¦ ητγον [10%] ‡ **11:18** εν **f**[35] אA,B,C [78%] HF,RP,OC,CP,NU ¦ 1 τη [22%] TR § **11:19** αιρεσεις εν υμιν *rell* ¦ 231 [2%] CP * **11:19** ινα **f**[35] אA,C [97%] HF,RP,OC,TR,CP ¦ 1 και 𝔭[46]B [3%] [NU] † **11:19** γενωνται *rell* ¦ γενονται [13%]

γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει‡ ἐν τῷ
φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. 22 Μὴ
γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν;
Ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ
καταισχύνετε τοὺς μὴ ἔχοντας; Τί ὑμῖν εἴπω;§
Ἐπαινέσω ὑμᾶς ἐν τούτῳ; Οὐκ ἐπαινῶ.

### *How the Lord inaugurated it*

23 Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου ὃ
καὶ παρέδωκα ὑμῖν· ὅτι ὁ * Κύριος Ἰησοῦς, ἐν
τῇ νυκτὶ ᾗ παρεδίδοτο,† ἔλαβεν ἄρτον· 24 καὶ
εὐχαριστήσας ἔκλασεν καὶ εἶπεν· «Λάβετε,
φάγετε·‡ τοῦτό μού ἐστιν τὸ σῶμα τὸ ὑπὲρ
ὑμῶν κλώμενον·§ τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν
ἀνάμνησιν.» 25 Ὡσαύτως καὶ τὸ ποτήριον,
μετὰ τὸ δειπνῆσαι, λέγων· «Τοῦτο τὸ ποτήριον
ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι·
τοῦτο ποιεῖτε, ὁσάκις ἂν* πίνητε, εἰς τὴν ἐμὴν
ἀνάμνησιν.» 26 Ὁσάκις γὰρ ἂν† ἐσθίητε τὸν
ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο‡ πίνητε,

‡ **11:21** προλαμβανει *rell* ¦ προσλαμβανει A [15%] § **11:22** υμιν ειπω $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ 21 $\mathfrak{p}^{46}$ℵA,B,C [5%] NU * **11:23** ο *rell* ¦ — [10%] † **11:23** παρεδιδοτο $\mathbf{f}^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ παρεδιδετο $\mathfrak{p}^{46}$ℵA,B,C [5%] NU ¦ seven other readings [5%] ‡ **11:24** λαβετε φαγετε $\mathbf{f}^{35}$ (91.4%) HF,RP,OC,TR,CP ¦ — ($\mathfrak{p}^{46}$)ℵA,B,C (8.3%) NU ¦ two long omissions (0.3%) § **11:24** κλωμενον $\mathbf{f}^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ — $\mathfrak{p}^{46}$ℵA,B,C [2%] NU * **11:25** αν $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ εαν $\mathfrak{p}^{46v}$ℵB,C [3%] NU ¦ long omission A [2%] † **11:26** αν $\mathbf{f}^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ εαν ℵA,B,C [4%] NU ¦ — [2%] ‡ **11:26** τουτο $\mathbf{f}^{35}$ $\mathfrak{p}^{46}$ [93%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [7%] NU

τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε ἄχρις
οὗ ἂν§ ἔλθῃ.

*Be careful to partake worthily*

27 Ὥστε ὃς ἂν ἐσθίῃ* τὸν ἄρτον τοῦτον†
ἢ πίνῃ‡ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως§
ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ* αἵματος
τοῦ Κυρίου. 28 Δοκιμαζέτω δὲ ἄνθρωπος
ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ
ἐκ τοῦ ποτηρίου πινέτω. 29 Ὁ γὰρ ἐσθίων καὶ
πίνων ἀναξίως† κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει,
μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου.‡ 30 Διὰ
τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι,
καὶ κοιμῶνται ἱκανοί.

31 Εἰ γὰρ§ ἑαυτοὺς διεκρίνομεν,* οὐκ
ἂν ἐκρινόμεθα. 32 Κρινόμενοι δέ, ὑπὸ†
Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ
κατακριθῶμεν.

---

§ **11:26** αν **f35** [95%] HF,RP,OC,TR,CP ¦ εαν [1%] ¦ — 𝔭46ℵA,B,C [4%] NU * **11:27** εσθιῃ *rell* ¦ εσθιει [25%] ¦ three other readings 𝔭46 [1%] † **11:27** τουτον **f35** [93%] HF,RP,OC,TR,CP ¦ — 𝔭46ℵA,B,C [7%] NU ‡ **11:27** πινῃ *rell* ¦ πινει [13%] ¦ two other readings [1%] § **11:27** αναξιως **f35** 𝔭46A,B,C [70%] OC,TR,CP,NU ¦ 1 του κυριου ℵ [30%] RP,HF * **11:27** του **f35** 𝔭46ℵA,B,C [85%] HF,RP,CP,NU ¦ — [10%] OC,TR ¦ long omission [5%] † **11:29** αναξιως **f35** (98%) HF,RP,OC,TR,CP ¦ — 𝔭46ℵA,B,C (1.5%) NU ¦ long omission (0.5%) ‡ **11:29** του κυριου **f35** (98%) HF,RP,OC,TR,CP ¦ — 𝔭46ℵA,B,C (2%) NU § **11:31** γαρ **f35** C [97%] HF,RP,OC,TR,CP ¦ δε 𝔭46ℵA,B [3%] NU * **11:31** διεκρινομεν (𝔭46B) *rell* ¦ εκρινομεν [25%] † **11:32** υπο **f35** 𝔭46A [92%] HF,RP,TR ¦ 1 του ℵB,C [8%] OC,CP[NU] (Some TRs have του; OC is in small print.)

33 Ὥστε, ἀδελφοί μου, συνερχόμενοι εἰς τὸ
φαγεῖν, ἀλλήλους ἐκδέχεσθε. 34 Εἰ δέ‡ τις
πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρῖμα
συνέρχησθε. Τὰ δὲ λοιπὰ ὡς ἂν ἔλθω
διατάξομαι.

# 12

*About spiritual gifts*

1 Περὶ δὲ τῶν πνευματικῶν, ἀδελφοί, οὐ
θέλω ὑμᾶς ἀγνοεῖν. 2 Οἴδατε ὅτι ὅτε* ἔθνη
ἦτε πρὸς τὰ εἴδωλα τὰ ἄφωνα ὡς ἂν ἤγεσθε,
ἀπαγόμενοι. 3 Διὸ γνωρίζω ὑμῖν ὅτι οὐδεὶς ἐν
Πνεύματι Θεοῦ λαλῶν λέγει ἀνάθεμα Ἰησοῦν,†
καὶ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν‡ εἰ
μὴ ἐν Πνεύματι Ἁγίῳ.
4 Διαιρέσεις δὲ χαρισμάτων εἰσίν, τὸ δὲ
αὐτὸ Πνεῦμα. 5 Καὶ διαιρέσεις διακονιῶν
εἰσιν,§ καὶ ὁ αὐτὸς Κύριος. 6 Καὶ διαιρέσεις
ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτός ἐστιν* Θεὸς
ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. 7 Ἑκάστῳ δὲ
δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ
συμφέρον.

‡ **11:34** δε **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ — 𝔭[46]אA,B,C [3%] NU
* **12:2** οτε **f**[35] אA,B,C [82%] HF,RP,OC,CP,NU ¦ — [18%] TR
† **12:3** ιησουν **f**[35] 𝔭[46] (95.6%) HF,RP,OC,TR,CP ¦ ιησους אA,B,C (3.4%) NU ¦ four other readings (1%) ‡ **12:3** κυριον ιησουν **f**[35] (93.2%) HF,RP,OC,TR,CP ¦ κυριος ιησους 𝔭[46]אA,B,C (5.2%) NU ¦ 12 χριστον (0.8%) ¦ long omission (0.7%) § **12:5** και διαιρεσεις διακονιων εισιν *rell* ¦ — [14%] [homoioarcton] * **12:6** εστιν **f**[35] (B) (79.5%) HF,RP,OC,TR,CP ¦ — 𝔭[46]אA,C (20.5%) NU

*A list of gifts*

8 Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται
λόγος σοφίας· ἄλλῳ δὲ λόγος γνώσεως,
κατὰ τὸ αὐτὸ Πνεῦμα· 9 ἑτέρῳ δὲ† πίστις,
ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ δὲ χαρίσματα
ἰαμάτων, ἐν τῷ αὐτῷ‡ Πνεύματι· 10 ἄλλῳ δὲ
ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ§ προφητεία,
ἄλλῳ δὲ* διακρίσεις πνευμάτων· ἑτέρῳ δὲ†
γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν.
11 Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ
αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς
βούλεται.

*An analogy from the body*

12 Καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστιν καὶ
μέλη ἔχει πολλά,‡ πάντα δὲ τὰ μέλη τοῦ
σώματος τοῦ ἑνός,§ πολλὰ ὄντα, ἕν ἐστιν
σῶμα, οὕτως καὶ ὁ Χριστός. 13 Καὶ γὰρ
ἐν ἑνὶ Πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα
ἐβαπτίσθημεν—εἴτε Ἰουδαῖοι εἴτε Ἕλληνες, εἴτε
δοῦλοι εἴτε ἐλεύθεροι—καὶ πάντες εἰς* ἓν

---

† **12:9** δε **f**$^{35}$ 𝔭$^{46}$A,C [98%] HF,RP,OC,TR,CP ¦ — אB [2%] NU ‡ **12:9** αυτω **f**$^{35}$ א,0201 [94%] HF,RP,OC,TR,CP ¦ ενι A,B [2%] NU ¦ — 𝔭$^{46}$ (C) [1%] ¦ long omission [3%] § **12:10** δε **f**$^{35}$ אA,C [98%] HF,RP,OC,TR,CP[NU] ¦ — 𝔭$^{46}$B,0201 [2%] * **12:10** δε **f**$^{35}$ אA,C [98%] HF,RP,OC,TR,CP[NU] ¦ — 𝔭$^{46}$B,0201 [2%] † **12:10** δε **f**$^{35}$ A,C [96%] HF,RP,OC,TR,CP ¦ — 𝔭$^{46}$אB,0201 [4%] NU ‡ **12:12** μελη εχει πολλα **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ 132 אA,B,C [4%] NU ¦ 312 𝔭$^{46}$ § **12:12** του ενος **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [7%] NU * **12:13** εις **f**$^{35}$ [91%] HF,RP,OC,TR,CP ¦ — 𝔭$^{46}$אA,B,C [9%] NU

Πνεῦμα ἐποτίσθημεν.† 14 Καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος ἀλλὰ πολλά. 15 Ἐὰν εἴπῃ ὁ πούς, «Ὅτι οὐκ εἰμὶ χείρ, οὐκ εἰμὶ ἐκ τοῦ σώματος,» οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος. 16 Καὶ ἐὰν εἴπῃ τὸ οὖς, «Ὅτι οὐκ εἰμὶ ὀφθαλμός, οὐκ εἰμὶ ἐκ τοῦ σώματος,» οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος. 17 Εἰ ὅλον τὸ σῶμα ὀφθαλμός, ποῦ ἡ ἀκοή; Εἰ ὅλον ἀκοή, ποῦ ἡ ὄσφρησις; 18 Νυνὶ δὲ ὁ Θεὸς ἔθετο τὰ μέλη, ἓν ἕκαστον αὐτῶν, ἐν τῷ σώματι καθὼς ἠθέλησεν. 19 (Εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; 20 Νῦν δὲ πολλὰ μὲν μέλη ἓν δὲ σῶμα.)

21 Οὐ δύναται δὲ ὁ ‡ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί, «Χρείαν σου οὐκ ἔχω»· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσίν, «Χρείαν ὑμῶν οὐκ ἔχω.» 22 Ἀλλὰ πολλῷ μᾶλλον, τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν ἀναγκαῖά ἐστιν. 23 Καὶ ἃ δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώματος, τούτοις τιμὴν περισσοτέραν περιτίθεμεν· καὶ τὰ ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισσοτέραν ἔχει, 24 τὰ δὲ εὐσχήμονα ἡμῶν οὐ χρείαν ἔχει. Ἀλλ᾽§ ὁ Θεὸς συνεκέρασεν τὸ σῶμα, τῷ ὑστεροῦντι*

---

† **12:13** πνευμα εποτισθημεν **f**[35] 𝔭[46]אB,C [72%] HF,RP,OC,TR,CP,NU ¦ πομα 2 [24%] ¦ 1 εφωτισθημεν [4%] ¦ σωμα εσμεν A ‡ **12:21** δε ο **f**[35] 𝔭[46]אB [64%] HF,RP,CP,NU ¦ 2 A,C [18%] ¦ 1 [8%] OC,TR ¦ — [10%] § **12:24** αλλ *rell* ¦ αλλα אA,B,C [25%] NU * **12:24** υστερουντι **f**[35] 𝔭[46] [97%] HF,RP,OC,TR,CP ¦ υστερουμενω אA,B,C,048 [3%] NU

περισσοτέραν δοὺς τιμήν, 25 ἵνα μὴ ᾖ σχίσμα†
ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων
μεριμνῶσιν τὰ μέλη· 26 καὶ εἴτε πάσχει
ἓν μέλος, συμπάσχῃ‡ πάντα τὰ μέλη· εἴτε
δοξάζεται ἓν§ μέλος, συγχαίρῃ* πάντα τὰ
μέλη.

### *Functions in the Church*

27 Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, καὶ
μέλη ἐκ μέρους. 28 Καὶ οὓς μὲν ἔθετο ὁ
Θεὸς ἐν τῇ ἐκκλησίᾳ· πρῶτον ἀποστόλους,
δεύτερον προφήτας, τρίτον διδασκάλους·
ἔπειτα δυνάμεις, εἶτα† χαρίσματα ἰαμάτων,
ἀντιλήψεις,‡ κυβερνήσεις, γένη γλωσσῶν.
29 Μὴ πάντες ἀπόστολοι; Μὴ πάντες προφῆται;
Μὴ πάντες διδάσκαλοι; Μὴ πάντες δυνάμεις;
30 Μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων;
Μὴ πάντες γλώσσαις λαλοῦσιν; Μὴ πάντες
διερμηνεύουσιν; 31 Ζηλοῦτε δὲ τὰ χαρίσματα
τὰ κρείττονα.§

### *About agape love*

Καὶ ἔτι καθ᾽ ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι.

---

† **12:25** σχισμα **f**35 𝔓46A,B,C [58%] OC,TR,NU ¦ σχισματα ℵ [40%] HF,RP,CP ¦ two other readings [2%] ‡ **12:26** συμπασχη **f**35 [40%] CP ¦ συμπασχει (𝔓46ℵA,B,C) [60%] HF,RP,OC,TR,NU § **12:26** εν **f**35 C [99%] HF,RP,OC,TR,CP[NU] ¦ — 𝔓46ℵA,B [1%] * **12:26** συγχαιρη **f**35 [40%] CP ¦ συγχαιρει (𝔓46)ℵ(A,B,C) [60%] HF,RP,OC,TR,NU † **12:28** ειτα **f**35 [96%] HF,RP,OC,TR,CP ¦ επειτα 𝔓46ℵA,B,C [3%] NU ¦ — [1%] ‡ **12:28** αντιληψεις *rell* ¦ αντιλημψεις (𝔓46)ℵA,B [2%] NU § **12:31** κρειττονα **f**35 (94.2%) HF,RP,OC,TR,CP ¦ μειζονα 𝔓46ℵA,B,C (5.8%) NU

# 13

1 Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ
καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα
χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. 2 Καὶ ἐὰν
ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα
καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν
πίστιν, ὥστε ὄρη μεθιστάνειν,* ἀγάπην δὲ μὴ
ἔχω, οὐθέν† εἰμι. 3 Καὶ ἐὰν‡ ψωμίσω πάντα τὰ
ὑπάρχοντά μου καὶ ἐὰν παραδῶ τὸ σῶμά μου
ἵνα καυθήσομαι,§ ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν
ὠφελοῦμαι.

*Love described*

4 Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ
ἀγάπη οὐ ζηλοῖ· ἡ ἀγάπη οὐ περπερεύεται,*
οὐ φυσιοῦται, 5 οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ
ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ
κακόν· 6 οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ

---

* **13:2** μεθιστανειν **f**35 A,C [97%] HF,RP,OC,TR,CP ¦ μεθισταναι 𝔭46B,048 [3%] NU ¦ ℵ omits a whole verse [homoioteleuton] † **13:2** ουθεν *rell* ¦ ουδεν [5%] OC ‡ **13:3** και εαν **f**35 ℵ [97%] HF,RP,OC,TR,CP ¦ καν 𝔭46A,B,C [3%] NU § **13:3** καυθησομαι **f**35 (50.6%) OC ¦ καυθησωμαι C (44.7%) HF,RP,TR,CP ¦ καυθησεται (1%) ¦ καυθη (0.8%) ¦ καυχησωμαι 𝔭46ℵA,B (1.5%) NU ¦ καυχησομαι 048 (0.5%) ¦ four further variants (0.8%) (As one of the speakers at the Perry Hall Theological Forum, January, 2005, Maurice Robinson explained that he and Pierpont chose the main minority reading here because to them it was the most difficult [!!]. But people expect the Subjunctive with ἱνα, so many scribes probably made the change virtually without thinking.) * **13:4** η αγαπη ου περπερευεται **f**35 ℵC,048 (83.5%) HF,RP,OC,TR,CP[NU] ¦ 123 περπορευεται A (2.4%) ¦ 123 υπερπερευεται (0.5%) ¦ 34 B (12.9%) ¦ 3412 𝔭46 ¦ long omission (0.7%)

τῇ ἀληθείᾳ· 7 πάντα στέγει, πάντα πιστεύει,
πάντα ἐλπίζει, πάντα ὑπομένει· 8 ἡ ἀγάπη
οὐδέποτε ἐκπίπτει.†

### *Love contrasted*

Εἴτε δὲ προφητεῖαι, καταργηθήσονται·
εἴτε γλῶσσαι, παύσονται· εἴτε γνῶσις,
καταργηθήσεται· 9 ἐκ μέρους δὲ‡ γινώσκομεν
καὶ ἐκ μέρους προφητεύομεν. 10 Ὅταν
δὲ ἔλθῃ τὸ τέλειον, τότε§ τὸ ἐκ μέρους
καταργηθήσεται. 11 (Ὅτε ἤμην νήπιος, ὡς
νήπιος ἐλάλουν,* ὡς νήπιος ἐφρόνουν,† ὡς
νήπιος ἐλογιζόμην·‡ ὅτε δὲ§ γέγονα ἀνήρ,
κατήργηκα τὰ τοῦ νηπίου.) 12 Βλέπομεν
γὰρ ἄρτι δι᾽ ἐσόπτρου ἐν αἰνίγματι, τότε
δὲ πρόσωπον πρὸς πρόσωπον. Ἄρτι γινώσκω
ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ
ἐπεγνώσθην.
13 Νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ
τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη.

# 14

### *Prophecy is better than Tongues*

---

† **13:8** εκπιπτει $\mathbf{f}^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ πιπτει $\mathfrak{p}^{46}$ℵA,B,C,048 [2%] NU ‡ **13:9** δε $\mathbf{f}^{35}$ [92%] HF,RP,OC,CP ¦ γαρ $\mathfrak{p}^{46}$ℵA,B [8%] TR,NU § **13:10** τοτε $\mathbf{f}^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ — $\mathfrak{p}^{46}$ℵA,B [6%] NU * **13:11** ως νηπιος ελαλουν $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ 312 $\mathfrak{p}^{46}$ℵA,B [5%] NU † **13:11** ως νηπιος εφρονουν $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ 312 ℵA,B [5%] NU ‡ **13:11** ως νηπιος ελογιζομην $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ 312 ℵA,B [5%] NU § **13:11** δε $\mathbf{f}^{35}$ [98.5%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,048 [1.5%] NU

1 Διώκετε τὴν ἀγάπην, ζηλοῦτε δὲ τὰ
πνευματικά, μᾶλλον δὲ ἵνα προφητεύητε.
2 Ὁ γὰρ λαλῶν γλώσσῃ οὐκ ἀνθρώποις
λαλεῖ ἀλλὰ τῷ* Θεῷ, οὐδεὶς γὰρ ἀκούει·
πνεύματι δὲ λαλεῖ μυστήρια. 3 Ὁ δὲ
προφητεύων ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ
παράκλησιν καὶ παραμυθίαν. 4 Ὁ λαλῶν
γλώσσῃ ἑαυτὸν οἰκοδομεῖ, ὁ δὲ προφητεύων
ἐκκλησίαν οἰκοδομεῖ. 5 Θέλω δὲ πάντας ὑμᾶς
λαλεῖν γλώσσαις, μᾶλλον δὲ ἵνα προφητεύητε·
μείζων γὰρ† ὁ προφητεύων ἢ ὁ λαλῶν
γλώσσαις (ἐκτὸς εἰ μὴ διερμηνεύει),‡ ἵνα ἡ
ἐκκλησία οἰκοδομὴν λάβῃ.

### *Messages need to be intelligible*

6 Νυνὶ§ δέ, ἀδελφοί, ἐὰν ἔλθω πρὸς ὑμᾶς
γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφελήσω, ἐὰν
μὴ ὑμῖν λαλήσω ἢ ἐν ἀποκαλύψει, ἢ ἐν
γνώσει, ἢ ἐν προφητείᾳ, ἢ ἐν* διδαχῇ; 7 Ὅμως
τὰ ἄψυχα φωνὴν διδόντα, εἴτε αὐλὸς εἴτε
κιθάρα· ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ
διδῷ,† πῶς γνωσθήσεται τὸ αὐλούμενον ἢ
τὸ κιθαριζόμενον; 8 Καὶ γὰρ ἐὰν ἄδηλον
φωνὴν σάλπιγξ‡ δῷ, τίς παρασκευάσεται

---

* **14:2** τω **f**$^{35}$ A [98%] HF,RP,OC,TR,CP ¦ — 𝔭$^{46}$ℵB [2%] NU † **14:5** γαρ **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ δε 𝔭$^{46}$ℵA,B [3%] NU ‡ **14:5** διερμηνευει **f**$^{35}$ [85%] HF,RP,OC,CP ¦ διερμηνευη 𝔭$^{46}$ℵA,B,048 [14%] TR,NU ¦ διερμηνευων [1%] § **14:6** νυνι **f**$^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ νυν ℵA,B [10%] NU * **14:6** εν **f**$^{35}$ A,B,048 [98%] HF,RP,OC,TR,CP[NU] ¦ — 𝔭$^{46}$ℵ [2%] † **14:7** διδω **f**$^{35}$ 𝔭$^{46}$ [85%] HF,RP,OC,CP ¦ δω ℵA,B [15%] TR,NU ‡ **14:8** φωνην σαλπιγξ **f**$^{35}$ B [95%] HF,RP,OC,TR,CP ¦ 21 (𝔭$^{46}$)ℵ(A)048 [5%] NU

εἰς πόλεμον; 9 Οὕτως καὶ ὑμεῖς· διὰ τῆς
γλώσσης ἐὰν μὴ εὔσημον λόγον δῶτε, πῶς
γνωσθήσεται τὸ λαλούμενον; Ἔσεσθε γὰρ εἰς
ἀέρα λαλοῦντες. 10 Τοσαῦτα εἰ τύχοι γένη
φωνῶν ἐστιν§ ἐν κόσμῳ, καὶ οὐδὲν αὐτῶν*
ἄφωνον. 11 Ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς
φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος, καὶ ὁ
λαλῶν ἐν ἐμοὶ βάρβαρος.
12 Οὕτως καὶ ὑμεῖς· ἐπεὶ ζηλωταί ἐστε
πνευμάτων, πρὸς τὴν οἰκοδομὴν τῆς
ἐκκλησίας ζητεῖτε, ἵνα περισσεύητε.
13 Διόπερ† ὁ λαλῶν γλώσσῃ προσευχέσθω
ἵνα διερμηνεύῃ. 14 Ἐὰν γὰρ‡ προσεύχωμαι§
γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ
νοῦς μου ἄκαρπός ἐστιν. 15 Τί οὖν ἐστιν;
Προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ
καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ
τῷ νοΐ. 16 Ἐπεί, ἐὰν εὐλογήσῃς* τῷ† πνεύματι,
ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου, πῶς
ἐρεῖ τὸ «Ἀμὴν» ἐπὶ τῇ σῇ εὐχαριστίᾳ, ἐπειδὴ
τί λέγεις οὐκ οἶδεν; 17 Σὺ μὲν γὰρ καλῶς
εὐχαριστεῖς, ἀλλ᾽ ὁ ἕτερος οὐκ οἰκοδομεῖται.

### *Paul’s example*

---

§ **14:10** εστιν **f**35 [94%] HF,RP,OC,TR,CP ¦ εισιν 𝔭46ℵA,B [6%] NU * **14:10** αυτων **f**35 (92.6%) HF,RP,OC,TR,CP ¦ — 𝔭46ℵA,B,048 (7.4%) NU † **14:13** διοπερ **f**35 [97%] HF,RP,OC,TR,CP ¦ διο 𝔭46ℵA,B,048 [3%] NU ‡ **14:14** γαρ **f**35 ℵA,048 [98%] HF,RP,OC,TR,CP[NU] ¦ — 𝔭46B [2%] § **14:14** προσευχωμαι *rell* ¦ προσευχομαι [15%] * **14:16** ευλογησης **f**35 𝔭46048 [90%] HF,RP,OC,TR,CP ¦ ευλογης ℵA,B [10%] NU † **14:16** τω **f**35 [96%] HF,RP,OC,TR,CP ¦ εν B [2%] [NU] ¦ — 𝔭46ℵA [2%]

18 Εὐχαριστῶ τῷ Θεῷ μου‡ πάντων ὑμῶν
μᾶλλον γλώσσαις λαλῶν,§ 19 ἀλλ᾽* ἐν
ἐκκλησίᾳ θέλω πέντε λόγους διὰ τοῦ νοός†
μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ
μυρίους λόγους‡ ἐν γλώσσῃ.
20 Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν—
ἀλλά, τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶν
τέλειοι γίνεσθε.§ 21 Ἐν τῷ νόμῳ γέγραπται
ὅτι· «Ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν
ἑτέροις* λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ᾽
οὕτως εἰσακούσονταί μου,» λέγει Κύριος.
22 Ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν, οὐ
τοῖς πιστεύουσιν ἀλλὰ τοῖς ἀπίστοις· ἡ
δὲ προφητεία οὐ τοῖς ἀπίστοις ἀλλὰ τοῖς
πιστεύουσιν. 23 Ἐὰν οὖν συνέλθῃ ἡ ἐκκλησία
ὅλη ἐπὶ τὸ αὐτὸ καὶ πάντες γλώσσαις
λαλῶσιν,† εἰσέλθωσιν δὲ ἰδιῶται ἢ ἄπιστοι,
οὐκ ἐροῦσιν ὅτι μαίνεσθε; 24 Ἐὰν δὲ πάντες
προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ
ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται

‡ **14:18** μου **f**35 [94%] HF,RP,OC,TR,CP ¦ — (𝔭46)אA,B [6%] NU § **14:18** λαλων **f**35 [96%] HF,RP,OC,TR,CP ¦ λαλω אB,048 [3%] NU ¦ λαλειν 𝔭46 [1%] ¦ — A * **14:19** αλλ *rell* ¦ αλλα 𝔭46A,B [1%] NU ¦ — א † **14:19** δια του νοος **f**35 048 (89.6%) HF,RP,OC,TR,CP ¦ 12 νους (1.9%) ¦ τω νοι אA,B (7.7%) NU ¦ εν τω νοι 𝔭46 (0.3%) ¦ two other readings (0.5%) ‡ **14:19** λογους *rell* ¦ — 𝔭46 [14%] § **14:20** γινεσθε *rell* ¦ γινεσθαι (A) [30%] some TRs * **14:21** ετεροις **f**35 𝔭46 [97%] HF,RP,OC,TR,CP ¦ ετερων אA,B,0201 [3%] NU † **14:23** γλωσσαις λαλωσιν **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 21 אA,B [4%] NU ¦ λαλησωσιν 1 𝔭46

ὑπὸ πάντων. 25 Καὶ οὕτως‡ τὰ κρυπτὰ τῆς
καρδίας αὐτοῦ φανερὰ γίνεται, καὶ οὕτως,
πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ Θεῷ,
ἀπαγγέλλων ὅτι, «Ὄντως ὁ Θεὸς ἐν ὑμῖν
ἐστιν.»§

*There are limits*

26 Τί οὖν ἐστιν, ἀδελφοί; Ὅταν συνέρχησθε,
ἕκαστος ὑμῶν* ψαλμὸν ἔχει, διδαχὴν ἔχει,
γλῶσσαν ἔχει, ἀποκάλυψιν† ἔχει, ἑρμηνείαν
ἔχει. Πάντα πρὸς οἰκοδομὴν γινέσθω.‡
27 Εἴτε γλώσσῃ τις λαλεῖ, κατὰ δύο ἢ τὸ
πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος, καὶ εἷς
διερμηνευέτω. 28 Ἐὰν δὲ μὴ ᾖ διερμηνευτής,
σιγάτω ἐν ἐκκλησίᾳ· ἑαυτῷ δὲ λαλείτω καὶ
τῷ Θεῷ. 29 Προφῆται δὲ§ δύο ἢ τρεῖς
λαλείτωσαν,* καὶ οἱ ἄλλοι διακρινέτωσαν.
30 Ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ
πρῶτος σιγάτω. 31 Δύνασθε γὰρ καθ᾽ ἕνα†
πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσιν
καὶ πάντες παρακαλῶνται. 32 Καί, πνεύματα

---

‡ **14:25** και ουτως **f**35 (75.8%) RP ¦ 1 ουτω (17.3%) HF,OC,TR,CP ¦ 1 (0.8%) ¦ — 𝔭46אA,B,048,0201 (5.5%) NU ¦ long omission (0.5%) § **14:25** οντως ο θεος εν υμιν εστιν **f**35 A,B [23%] CP,NU ¦ 231456 [75%] HF,RP,OC,TR ¦ 23456 [1%] ¦ 13456 א [1%] ¦ 145623 𝔭46 * **14:26** υμων **f**35 (96.8%) HF,RP,OC,TR,CP ¦ — 𝔭46אA,B,0201 (3.2%) NU † **14:26** γλωσσαν εχει αποκαλυψιν **f**35 [71%] HF,RP,OC,TR,CP ¦ 321 𝔭46אA,B [14%] NU ¦ 3 [5%] ¦ — [10%] ‡ **14:26** γινεσθω **f**35 א [95%] HF,RP,OC,CP,NU ¦ γενεσθω [3%] TR ¦ γεινεσθω 𝔭46A,B [2%] § **14:29** δε *rell* ¦ — 𝔭46 [1%] CP * **14:29** λαλειτωσαν *rell* ¦ λαλητωσαν [12%] † **14:31** ενα *rell* ¦ 1 εκαστοι [1%] CP

προφητῶν προφήταις ὑποτάσσεται. 33 Οὐ γὰρ
ἐστιν ἀκαταστασίας ὁ Θεὸς ἀλλ'‡ εἰρήνης.

### *Wives are not to speak*

Ὡς ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων,
34 αἱ γυναῖκες ὑμῶν§ ἐν ταῖς ἐκκλησίαις
σιγάτωσαν, οὐ γὰρ ἐπιτέτραπται* αὐταῖς†
λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι,‡ καθὼς καὶ ὁ
νόμος λέγει. 35 Εἰ δέ τι μαθεῖν θέλουσιν,§
ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν,
αἰσχρὸν γάρ ἐστιν γυναιξὶν* ἐν ἐκκλησίᾳ†
λαλεῖν.‡ 36 Ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ
ἐξῆλθεν; Ἢ εἰς ὑμᾶς μόνους κατήντησεν;

### *Paul gets 'authoritative'*

37 Εἴ τις δοκεῖ προφήτης εἶναι ἢ
πνευματικός, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν

‡ **14:33** αλλ **f**$^{35}$ (𝔓$^{46}$) [70%] TR ¦ αλλα אA,B,C [30%] HF,RP,OC,CP,NU § **14:34** υμων **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ — אA,B [3%] NU * **14:34** επιτετραπται **f**$^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ επιτρεπεται אB [3%] NU ¦ επιτρεπετε A [1%] ¦ επιτετρεπται [2%] † **14:34** αυταις *rell* ¦ αυτοις [2%] CP ‡ **14:34** υποτασσεσθαι **f**$^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ υποτασσεσθωσαν א(A)B [2%] NU § **14:35** θελουσιν *rell* ¦ εθελουσιν [2%] CP * **14:35** γυναιξιν **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ γυναικι 𝔓$^{46}$אA,B [7%] NU † **14:35** γυναιξιν εν εκκλησια *rell* ¦ 231 CP ‡ **14:35** εν εκκλησια λαλειν **f**$^{35}$ [87%] HF,RP,OC,TR,CP ¦ 312 𝔓$^{46}$אA,B [3%] NU ¦ 1 εκκλησιαις 3 [10%]

ὅτι§ Κυρίου εἰσὶν ἐντολαί.* 38 Εἰ δέ τις ἀγνοεῖ,
ἀγνοείτω.†
39 Ὥστε, ἀδελφοί,‡ ζηλοῦτε τὸ προφητεύειν,
καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε.§
40 Πάντα* εὐσχημόνως καὶ κατὰ τάξιν
γινέσθω.

# About resurrection

## 15

*A review*

1 Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον
ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν
ᾧ καὶ ἑστήκατε· 2 δι᾽ οὗ καὶ σῴζεσθε, τίνι
λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε—ἐκτὸς
εἰ μὴ εἰκῇ ἐπιστεύσατε. 3 Παρέδωκα γὰρ ὑμῖν
ἐν πρώτοις ὃ καὶ παρέλαβον· ὅτι Χριστὸς
ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς
Γραφάς, 4 καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται
τῇ τρίτῃ ἡμέρᾳ* κατὰ τὰς Γραφάς, 5 καὶ ὅτι
ὤφθη Κηφᾷ, εἶτα† τοῖς δώδεκα. 6 Ἔπειτα

---

§ **14:37** οτι **f**35 𝔭46אA,B [92%] HF,RP,CP,NU ¦ 1 του [8%] OC,TR * **14:37** εισιν εντολαι **f**35 [94%] HF,RP,OC,TR,CP ¦ εστιν εντολη 𝔭46A,B,048 [2%] NU ¦ 21 [1%] ¦ εστιν [1%] ¦ 1 αι 2 [2%] ¦ εντολη εστιν א † **14:38** αγνοειτω **f**35 𝔭46B [89.5%] HF,RP,OC,TR,CP ¦ αγνωειτω [6%] ¦ αγνοειται אA,048 [1.5%] NU ¦ five more spellings [3%] ‡ **14:39** αδελφοι **f**35 𝔭46 [80%] HF,RP,OC,TR ¦ 1 μου אA,B,048 [20%] CP[NU] § **14:39** γλωσσαις μη κωλυετε **f**35 [96%] HF,RP,OC,TR,CP ¦ 231 א(A)048 [2%] NU ¦ 23 εν 1 𝔭46(B) ¦ εν 123 [1%] * **14:40** παντα **f**35 [93%] HF,RP,OC,TR,CP ¦ 1 δε 𝔭46אA,B [7%] NU * **15:4** τη τριτη ημερα **f**35 [97%] HF,RP,OC,TR,CP ¦ 1312 𝔭46אA,B [3%] NU † **15:5** ειτα *rell* ¦ επειτα [10%]

ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ,
ἐξ ὧν οἱ πλείους‡ μένουσιν ἕως ἄρτι, τινὲς
δὲ καὶ§ ἐκοιμήθησαν. 7 Ἔπειτα ὤφθη Ἰακώβῳ,
εἶτα* τοῖς ἀποστόλοις πᾶσιν. 8 Ἔσχατον δὲ
πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί.
9 Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς
οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι
ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ. 10 Χάριτι
δὲ Θεοῦ εἰμι ὅ εἰμι, καὶ ἡ χάρις αὐτοῦ ἡ
εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη· ἀλλὰ περισσότερον
αὐτῶν πάντων ἐκοπίασα—οὐκ ἐγὼ δέ, ἀλλ᾽† ἡ
χάρις τοῦ Θεοῦ ἡ ‡ σὺν ἐμοί. 11 Εἴτε οὖν ἐγὼ
εἴτε ἐκεῖνοι, οὕτως κηρύσσομεν καὶ οὕτως
ἐπιστεύσατε.

### *Resurrection is a fact*

12 Εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν
ἐγήγερται, πῶς λέγουσίν τινες ἐν ὑμῖν§
ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; 13 Εἰ δὲ
ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς
ἐγήγερται. 14 Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται,
κενὸν ἄρα* τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ† καὶ

‡ **15:6** πλειους **f35** [95%] HF,RP,OC,TR,CP ¦ πλειονες (א)A,B [5%] NU § **15:6** και **f35** 048 [98%] HF,RP,OC,TR,CP ¦ — 𝔭46אA,B [2%] NU * **15:7** ειτα **f35** B [65%] HF,RP,OC,TR,NU ¦ επειτα 𝔭46אA,048 [35%] CP † **15:10** αλλ *rell* ¦ αλλα אA,B [1%] NU ‡ **15:10** η **f35** (𝔭46)A [98%] HF,RP,OC,TR,CP[NU] ¦ — אB,0270 [2%] § **15:12** τινες εν υμιν **f35** [96%] HF,RP,OC,TR,CP ¦ 321 (𝔭46)אA,B,C [4%] NU * **15:14** αρα **f35** 𝔭46B [70%] HF,RP,OC,TR,CP ¦ 1 και אA [30%] [NU] † **15:14** δε **f35** [97%] HF,RP,OC,TR,CP ¦ — 𝔭46אA,B [3%] NU

ἡ πίστις ὑμῶν.‡ 15 Εὑρισκόμεθα δὲ καὶ§
ψευδομάρτυρες τοῦ Θεοῦ, ὅτι ἐμαρτυρήσαμεν
κατὰ τοῦ Θεοῦ ὅτι ἤγειρεν τὸν Χριστόν, ὃν
οὐκ ἤγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται.
16 Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς
ἐγήγερται. 17 Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται,
ματαία ἡ πίστις ὑμῶν· ἔτι ἐστὲ ἐν ταῖς
ἁμαρτίαις ὑμῶν. 18 Ἄρα καὶ οἱ κοιμηθέντες
ἐν Χριστῷ ἀπώλοντο. 19 Εἰ ἐν τῇ ζωῇ
ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ* μόνον,
ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν.

### *The sequence of events*

20 Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν·
ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο.†
21 Ἐπειδὴ γὰρ δι᾽ ἀνθρώπου ὁ ‡ θάνατος, καὶ
δι᾽ ἀνθρώπου ἀνάστασις νεκρῶν. 22 Ὥσπερ
γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως
καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται.
23 Ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι· ἀπαρχὴ
Χριστός, ἔπειτα οἱ τοῦ§ Χριστοῦ ἐν τῇ
παρουσίᾳ αὐτοῦ· 24 εἶτα τὸ τέλος, ὅταν
παραδῷ* τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί,
ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν

‡ **15:14** υμων *rell* ¦ ημων B [25%] § **15:15** και *rell* ¦ 1 ημεις CP * **15:19** ηλπικοτες εσμεν εν χριστω **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 3412 𝔓46ℵA,B [5%] NU † **15:20** εγενετο **f**35 (93.7%) HF,RP,OC,TR,CP ¦ — 𝔓46ℵA,B (6.3%) NU ‡ **15:21** ο **f**35 [97%] HF,RP,OC,TR,CP ¦ — 𝔓46ℵA,B [3%] NU § **15:23** του **f**35 𝔓46ℵA,B [95%] HF,RP,CP,NU ¦ — [5%] OC,TR * **15:24** παραδω **f**35 [96%] HF,RP,OC,TR,CP ¦ παραδιδω 𝔓46ℵA,0270 [3%] NU ¦ παραδιδοι B [1%]

ἐξουσίαν καὶ δύναμιν. 25 Δεῖ γὰρ αὐτὸν
βασιλεύειν ἄχρις† οὗ ἂν‡ θῇ πάντας τοὺς
ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. 26 Ἔσχατος
ἐχθρὸς καταργεῖται ὁ θάνατος. 27 «Πάντα γὰρ
ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ.» Ὅταν δὲ
εἴπῃ ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς
τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. 28 Ὅταν δὲ
ὑποταγῇ αὐτῷ τὰ πάντα,§ τότε καὶ* αὐτὸς ὁ
Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ
πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ† πάντα ἐν πᾶσιν.

### *Consequences of denial*

29 Ἐπεί, τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ
τῶν νεκρῶν; Εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται,
τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν;‡
30 Τί καὶ ἡμεῖς κινδυνεύομεν§ πᾶσαν ὥραν;
31 Καθʼ ἡμέραν ἀποθνήσκω—νὴ τὴν ὑμετέραν*
καύχησιν† ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ
ἡμῶν. 32 Εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα
ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος; Εἰ νεκροὶ οὐκ
ἐγείρονται, «Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ
ἀποθνήσκομεν.» 33 Μὴ πλανᾶσθε· φθείρουσιν

---

† **15:25** αχρις $\mathbf{f}^{35}$ [98%] HF,OC,TR,CP ¦ αχρι $\mathfrak{P}^{46}$אA,B [2%] RP,NU ‡ **15:25** αν $\mathbf{f}^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ — $\mathfrak{P}^{46}$אA,B [3%] NU § **15:28** οταν δε υποταγη αυτω τα παντα *rell* ¦ — א [15%] [homoioteleuton] * **15:28** και $\mathbf{f}^{35}$ אA [98%] HF,RP,OC,TR,CP[NU] ¦ — B [2%] † **15:28** τα $\mathbf{f}^{35}$ א [98%] HF,RP,OC,TR,CP[NU] ¦ — A,B [2%] ‡ **15:29** των νεκρων $\mathbf{f}^{35}$ [77%] HF,RP,OC,TR,CP ¦ αυτων $\mathfrak{P}^{46}$אA,B [9%] NU ¦ αυτων 12 [5%] ¦ omit 3 or 4 words [9%] § **15:30** κινδυνευομεν *rell* ¦ 1 κατα [3%] CP * **15:31** υμετεραν *rell* ¦ ημετεραν A [15%] † **15:31** καυχησιν $\mathbf{f}^{35}$ $\mathfrak{P}^{46}$ (92.1%) HF,RP,OC,TR,CP ¦ 1 αδελφοι אA,B (7.9%) [NU]

ἤθη χρηστὰ‡ ὁμιλίαι κακαί. 34 Ἐκνήψατε
δικαίως, καὶ μὴ ἁμαρτάνετε, ἀγνωσίαν γὰρ
Θεοῦ τινες ἔχουσιν. Πρὸς ἐντροπὴν ὑμῖν§
λέγω.*

### *A philosophical objection*

35 Ἀλλ᾽† ἐρεῖ τις, «Πῶς ἐγείρονται οἱ νεκροί;
Ποίῳ δὲ σώματι ἔρχονται;» 36 Ἄφρον,‡ σὺ
ὃ σπείρεις οὐ ζωοποιεῖται ἐὰν μὴ ἀποθάνῃ.
37 Καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον
σπείρεις, ἀλλὰ γυμνὸν κόκκον (εἰ τύχοι σίτου
ἤ τινος τῶν λοιπῶν). 38 Ὁ δὲ Θεὸς αὐτῷ
δίδωσιν§ σῶμα καθὼς ἠθέλησεν, καὶ ἑκάστῳ
τῶν σπερμάτων τὸ* ἴδιον σῶμα. 39 Οὐ πᾶσα
σὰρξ ἡ αὐτὴ σάρξ· ἀλλὰ ἄλλη μὲν† ἀνθρώπων,‡
ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη
δὲ πτηνῶν.§ 40 Καὶ σώματα ἐπουράνια καὶ
σώματα ἐπίγεια· ἀλλ᾽* ἑτέρα μὲν ἡ τῶν
ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων.
41 Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης,

---

‡ **15:33** χρηστα **f**35 𝔭46אA,B [95%] HF,RP,OC,NU ¦ χρησθ [2%] TR ¦ χριστα [3%] CP § **15:34** υμιν *rell* ¦ υμων [11%] CP * **15:34** λεγω **f**35 A [85%] HF,RP,OC,TR,CP ¦ λαλω 𝔭46אB [15%] NU † **15:35** αλλ *rell* ¦ αλλα B [1%] NU ‡ **15:36** αφρον **f**35 [85%] HF,RP,OC,TR,CP ¦ αφρων 𝔭46אA,B [15%] NU § **15:38** αυτω διδωσιν **f**35 [81%] HF,RP,OC,TR,CP ¦ 21 𝔭46אA,B [9%] NU ¦ αυτο 2 [10%] * **15:38** το **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — אA,B,IV [5%] NU † **15:39** μεν *rell* ¦ 1 σαρξ TR ‡ **15:39** [Human meat is not the same as animal meat!] § **15:39** ιχθυων αλλη δε πτηνων (πετεινων OC) **f**35 [96%] HF,RP(OC)TR,CP ¦ 4231 A [1%] ¦ σαρξ 4 (πετηνων 𝔭46) 231 (𝔭46)אB [3%] NU * **15:40** αλλ *rell* ¦ αλλα 𝔭46A,B [1%] NU

καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος
διαφέρει ἐν δόξῃ.
42 Οὕτως καὶ ἡ ἀνάστασις τῶν νεκρῶν·
σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ·
43 σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ·
σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει·
44 σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα
πνευματικόν.† Ἔστιν σῶμα ψυχικὸν καὶ ἔστιν
σῶμα‡ πνευματικόν.
45 Οὕτως καὶ γέγραπται· «Ἐγένετο ὁ πρῶτος
ἄνθρωπος, Ἀδάμ, εἰς ψυχὴν ζῶσαν»· ὁ ἔσχατος
Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. 46 Ἀλλ᾽ οὐ
πρῶτον τὸ πνευματικόν, ἀλλὰ τὸ ψυχικόν,
ἔπειτα τὸ πνευματικόν. 47 Ὁ πρῶτος ἄνθρωπος
ἐκ γῆς, χοϊκός· ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος§
ἐξ οὐρανοῦ. 48 Οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ
χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ
οἱ ἐπουράνιοι. 49 Καὶ καθὼς ἐφορέσαμεν τὴν
εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν* καὶ τὴν εἰκόνα
τοῦ ἐπουρανίου.

### *Our turn is coming*

50 Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ
αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ

† **15:44** πνευματικον **f**35 [96%] HF,RP,OC,TR,CP ¦ 1 ει 𝔓46ℵA,B,C [4%] NU ‡ **15:44** και εστιν σωμα **f**35 [82%] HF,RP,OC,TR,CP ¦ 21 𝔓46ℵA,B,C [4%] NU ¦ omit seven words [14%] [homoioteleuton] § **15:47** ο κυριος **f**35 A (97.5%) HF,RP,OC,TR,CP ¦ —ℵB,C (2.4%) NU ¦ πνευματικος 𝔓46 * **15:49** φορεσωμεν **f**35 (𝔓46)ℵA,C [82%] HF,RP,CP ¦ φορεσομεν B,I [18%] OC,TR,NU

δύνανται·† οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν
κληρονομεῖ. 51 Ἰδού, μυστήριον ὑμῖν λέγω·
Πάντες μὲν οὐ κοιμηθησόμεθα,‡ πάντες
δὲ ἀλλαγησόμεθα 52 —ἐν ἀτόμῳ, ἐν ῥιπῇ
ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι—σαλπίσει
γὰρ καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ
ἡμεῖς ἀλλαγησόμεθα. 53 Δεῖ γὰρ τὸ φθαρτὸν
τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν
τοῦτο ἐνδύσασθαι ἀθανασίαν. 54 Ὅταν δὲ
τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν καὶ
τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε
γενήσεται ὁ λόγος ὁ γεγραμμένος· «Κατεπόθη
ὁ θάνατος εἰς νῖκος.» 55 «Ποῦ σου, Θάνατε, τὸ
κέντρον; Ποῦ σου, ᾋδη, τὸ νῖκος;»§ 56 Τὸ δὲ
κέντρον τοῦ θανάτου ἡ ἁμαρτία, ἡ δὲ δύναμις
τῆς ἁμαρτίας ὁ νόμος.

57 Τῷ δὲ Θεῷ χάρις τῷ διδόντι* ἡμῖν τὸ
νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.
58 Ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι
γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ
ἔργῳ τοῦ Κυρίου πάντοτε, εἰδότες ὅτι ὁ κόπος
ὑμῶν οὐκ ἔστιν κενὸς ἐν Κυρίῳ.

# Concluding topics

† **15:50** δυνανται $\mathbf{f}^{35}$ A,C [92%] HF,RP,OC,TR,CP ¦ δυναται אB [6%] NU ¦ δυνατε [2%] ‡ **15:51** μεν ου κοιμηθησομεθα $\mathbf{f}^{35}$ (96.4%) HF,RP,OC,TR,CP ¦ 23 B (0.3%) NU ¦ 232 $\mathfrak{P}^{46}$ ¦ 13 (0.3%) ¦ 132 אA (0.7%) ¦ 32 C (0.5%) ¦ 1 ουν 3 (0.5%) ¦ 1 ουν 32 (0.3%) ¦ three other readings (0.5%) § **15:55** κεντρον που σου αδη το νικος $\mathbf{f}^{35}$ (95.1%) HF,RP,OC,TR,CP ¦ 623451 (2.9%) ¦ 123 θανατε 56 (0.5%) ¦ 623 θανατε 51 ($\mathfrak{P}^{46}$)א(B)C,088 (1.2%) NU ¦ two other readings A (0.3%) * **15:57** διδοντι *rell* ¦ δοντι $\mathfrak{P}^{46}$ [35%] ¦ two other readings [2%]

# 16

### *About a special collection*

1 Περὶ δὲ τῆς λογίας* τῆς εἰς τοὺς ἁγίους,
ὥσπερ διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας,
οὕτως καὶ ὑμεῖς ποιήσατε. 2 Κατὰ μίαν
σαββάτων,† ἕκαστος ὑμῶν παρ᾽ ἑαυτῷ τιθέτω,
θησαυρίζων ὅ τι ἂν‡ εὐοδοῦται,§ ἵνα μὴ
ὅταν ἔλθω τότε λογίαι* γίνωνται.† 3 Ὅταν
δὲ παραγένωμαι, οὓς ἐὰν δοκιμάσητε δι᾽
ἐπιστολῶν, τούτους πέμψω ἀπενεγκεῖν τὴν
χάριν ὑμῶν εἰς Ἱερουσαλήμ.‡ 4 Ἐὰν δὲ
ᾖ ἄξιον§ τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ
πορεύσονται.

### *Personal plans*

5 Ἐλεύσομαι δὲ πρὸς ὑμᾶς ὅταν
Μακεδονίαν* διέλθω (Μακεδονίαν γὰρ
διέρχομαι). 6 Πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ, ἢ
καὶ παραχειμάσω, ἵνα ὑμεῖς με προπέμψητε,†
οὗ ἐὰν πορεύωμαι.‡ 7 Οὐ θέλω γὰρ ὑμᾶς ἄρτι

---

* **16:1** λογιας *rell* ¦ λογειας NU ¦ ευλογιας [7%] † **16:2** σαββατων **f**$^{35}$ [92%] HF,RP,OC,TR,CP ¦ σαββατω ℵ ¦ σαββατου A,B,C,I [2%] NU ¦ σαββατον [6%] ‡ **16:2** αν **f**$^{35}$ ℵA,C [99.5%] HF,RP,OC,TR ¦ εαν B [0.5%] CP,NU § **16:2** ευοδουται **f**$^{35}$ [30%] ¦ ευοδωται ℵB [61%] HF,RP,OC,TR,CP,NU ¦ ευοδωθη A,C,088 [3%] ¦ ευωδωτε [6%] * **16:2** λογιαι *rell* ¦ λογειαι 𝔓$^{46}$ NU † **16:2** γινωνται *rell* ¦ γινονται (𝔓$^{46}$) [15%] CP ‡ **16:3** ἱερουσαλημ *rell* ¦ ἰερουσαλημ HF,NU § **16:4** η αξιον **f**$^{35}$ ℵ [96%] HF,RP,OC,TR,CP ¦ 21 𝔓$^{46}$A,B,C,088 [4%] NU * **16:5** μακεδονιαν *rell* ¦ μακεδωνιαν CP (Also the next occurrence.) † **16:6** προπεμψητε *rell* ¦ προπεμψηται A [10%] ‡ **16:6** πορευωμαι *rell* ¦ πορευομαι [11%] ¦ πορευσωμαι [4%]

ἐν παρόδῳ ἰδεῖν, ἐλπίζω δὲ§ χρόνον τινὰ
ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος ἐπιτρέπῃ.*
8 Ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ ἕως τῆς Πεντηκοστῆς,
9 θύρα γάρ μοι ἀνέῳγεν μεγάλη καὶ ἐνεργής,
καὶ ἀντικείμενοι πολλοί.

*This and that*

10 Ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα
ἀφόβως γένηται πρὸς ὑμᾶς, τὸ γὰρ ἔργον
Κυρίου ἐργάζεται ὡς καὶ ἐγώ.† 11 Μή τις οὖν
αὐτὸν ἐξουθενήσῃ·‡ προπέμψατε δὲ αὐτὸν ἐν
εἰρήνῃ, ἵνα ἔλθῃ πρός με· ἐκδέχομαι γὰρ αὐτὸν
μετὰ τῶν ἀδελφῶν.

12 Περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ· πολλὰ
παρεκάλεσα αὐτὸν ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ
τῶν ἀδελφῶν, καὶ πάντως οὐκ ἦν θέλημα ἵνα
νῦν ἔλθῃ· ἐλεύσεται δὲ ὅταν εὐκαιρήσῃ.

13 Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει,
ἀνδρίζεσθε, κραταιοῦσθε. 14 Πάντα ὑμῶν
ἐν ἀγάπῃ γινέσθω.

15 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί (οἴδατε
τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς
Ἀχαΐας, καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν
ἑαυτούς), 16 ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς
τοιούτοις,§ καὶ παντὶ τῷ συνεργοῦντι καὶ
κοπιῶντι. 17 Χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ

---

§ **16:7** δε **f**35 [96%] HF,RP,OC,TR,CP ¦ γαρ 𝔭46ℵA,B,C,088 [4%] NU * **16:7** επιτρεπη **f**35 [97%] HF,RP,OC,TR,CP ¦ επιτρεψη 𝔭46ℵA,B,C [3%] NU † **16:10** και εγω **f**35 [79%] HF,RP,TR,CP ¦ 2 𝔭46B [1%] ¦ καγω ℵA,C [20%] OC,NU ‡ **16:11** εξουθενηση *rell* ¦ εξουθενησει [12%] CP § **16:16** τοιουτοις *rell* ¦ τιουτοις CP

Στεφανᾶ καὶ Φουρτουνάτου* καὶ Ἀχαϊκοῦ,
ὅτι τὸ ὑμῶν† ὑστέρημα οὗτοι ἀνεπλήρωσαν·
18 ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν·
ἐπιγινώσκετε οὖν τοὺς τοιούτους.

*Final greetings*

19 Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας.
Ἀσπάζονται‡ ὑμᾶς ἐν Κυρίῳ πολλὰ Ἀκύλας
καὶ Πρίσκιλλα,§ σὺν τῇ κατ᾽ οἶκον αὐτῶν
ἐκκλησίᾳ. 20 Ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ
πάντες. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι
ἁγίῳ.
21 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρί, Παύλου.
22 Εἴ τις οὐ φιλεῖ τὸν Κύριον ἡμῶν* Ἰησοῦν
Χριστόν,† ἤτω ἀνάθεμα. Μαραναθά.
23 Ἡ χάρις τοῦ Κυρίου‡ Ἰησοῦ Χριστοῦ§ μεθ᾽
ὑμῶν. 24 Ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν
Χριστῷ Ἰησοῦ.

---

* **16:17** φουρτουνατου **f**$^{35}$ [85%] HF,RP,OC,TR,CP ¦ φορτουνατου 𝔭$^{46}$אA,B,C [15%] NU † **16:17** υμων **f**$^{35}$ 𝔭$^{46}$אA [98%] HF,RP,OC,TR,CP ¦ υμετερον B,C [2%] NU ‡ **16:19** ασπαζονται **f**$^{35}$ 𝔭$^{46}$B [96%] HF,RP,OC,TR,CP ¦ ασπαζεται אC [2%] NU,some TRs ¦ four other readings [2%] ¦ A omits the whole verse [homoioteleuton] § **16:19** πρισκιλλα **f**$^{35}$ C [98%] HF,RP,OC,TR,CP ¦ πρισκα אB [1.5%] NU ¦ πρεισκας 𝔭$^{46}$ ¦ — A see above * **16:22** ημων **f**$^{35}$ [58%] ¦ — אA,B,C [42%] HF,RP,OC,TR,CP,NU † **16:22** ιησουν χριστον **f**$^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [2%] NU ‡ **16:23** κυριου **f**$^{35}$ אB,C [70%] HF,RP,OC,TR,CP,NU ¦ 1 ημων A [30%] § **16:23** χριστου **f**$^{35}$ A,C [97%] HF,RP,OC,TR,CP ¦ — אB [3%] NU

Ἀμήν.*,†

* **16:24** αμην **f**35 ℵA,C [98%] HF,RP,OC,TR,CP ¦ — B [2%] NU

† **16:24** The citation of **f**35 is based on thirty-four MSS—18, 35, 141, 201, 204, 386, 394, 444, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1249, 1503, 1548, 1637, 1761, 1855, 1864, 1865, 1892, 1897, 2080, 2352, 2431, 2466, 2554, 2587, 2723 and 2817—all of which I collated myself. 2554 is a ‘perfect’ representative of **f**35 in 1 Corinthians, as it stands. 2723 has three variations from the presumed archetype, 35 also has three (but 35’s exemplar only had one), 18 has five (but its exemplar only had two); the exemplar of 141 had one, that of 2466 had three, and so on. For a book this size the uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Aegean, Bucharest, Constantinople, Trikala, Meteora, Athens, Mt. Athos [eight different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception. In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I used Reuben Swanson’s excellent collations (*New Testament Greek Manuscripts: 1 Corinthians* [Ed. Reuben Swanson, Carol Stream, IL: Tyndale House Publishers, 2005]). For 1 Corinthians Swanson collated 83 MSS, six being fragmentary (for any given variant set there will usually be at least 75 MSS listed), and I occasionally supplemented from Scrivener and von Soden—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources. I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±2%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±10%—by comparing Swanson with *TuT*, I believe one can make a fairly accurate extrapolation. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

# Η Καινή Διαθήκη
## The Greek New Testament According to Family 35, Wilbur Pickering

Copyright © 2020 Wilbur N. Pickering

Language: Ελληνική (Greek, Ancient)

Dialect: Koine

Contributor: Dwayne Green, Robert A. Boyd

This translation is made available to you under the terms of the Creative Commons Attribution-Noncommercial-No Derivatives license 4.0.
You may share and redistribute this Bible translation or extracts from it in any format, provided that:

You include the above copyright and source information.

You do not sell this work for a profit.

You do not change any of the words or punctuation of the Scriptures.

Pictures included with Scriptures and other documents on this site are licensed just for use with those Scriptures and documents. For other uses, please contact the respective copyright owners.

2022-10-28

---

PDF generated using Haiola and XeLaTeX on 11 Nov 2022 from source files dated 11 Nov 2022
cf64fb6f-e463-5ebb-820f-5a4a7bb37b73